I Ch. 23. 31. ἐν ταῖς νεομηνίαις καὶ ἐν ταῖς ἑ. (3 a)
II Ch. 2. 4 (3). καὶ ἐν ταῖς ἑ. τοῦ κυρίου θεοῦ ἡμῶν (3 a)
5. 3. ἐξεκκλησιάσθησαν . . . ἐν τῇ ἑ. (1)
7. 8. ἐποίησε Σ. τὴν ἑ. (1)
— 9. ἐποίησεν ἑπτὰ ἡμέρας ἑορτήν (1)
8. 13. ἐν τοῖς μησὶ καὶ ἐν ταῖς ἑ. (3 b)
— 13. ἐν τῇ ἑ. τῶν ἀζύμων καὶ ἐν τῇ ἑ. τῶν ἑβδομάδων καὶ ἐν τῇ ἑ. τῶν σκηνῶν (1 ter)
30. 13. τοῦ ποιῆσαι τὴν ἑ. τῶν ἀζύμων (1)
— 21. ἐποίησαν οἱ υἱοὶ Ἰ. . . . τὴν ἑ. τῶν ἀζύμων (1)

II Ch. 30. 22. καὶ συνετέλεσαν τὴν ἑ. τῶν ἀζύμων (3 a)
— 26. οὐκ ἐγένετο τοιαύτη ἑ. ἐν Ἰ. –
31. 3. καὶ εἰς τὰς ἑ. τὰς γεγραμμένας ἐν τῷ νόμῳ κυρίου (3 a)
35. 17. καὶ ἐποίησαν . . . τὴν ἑ. τῶν ἀζύμων (1)
I Es. 1. 19. τὸ πάσχα καὶ τὴν ἑ. τῶν ἀζύμων
5. 51. ἠγάγοσαν τὴν τῆς [A ἠγ. τὰς] σκηνοπηγίας ἑ.
— 52. καὶ θυσίας . . . ἑορτῶν πασῶν ἡγιασμένων
7. 14. καὶ ἠγάγοσαν τὴν ἑ. τῶν ἀζύμων
II Es. 3. 4. ἐποίησαν τὴν ἑ. τῶν σκηνῶν (1)
— 5. καὶ εἰς πάσας ἑ. κυρίῳ τὰς ἡγιασμ. (3 a)
6. 22. ἐποίησαν τὴν ἑ. τῶν ἀζύμων (1)
Ne. 8. 14. ὅπως κατοικήσωσιν . . . ἐν σκηναῖς ἐν ἑορτῇ (1)
— 18. καὶ ἐποίησαν ἑορτήν (1)
10. 33 (34). εἰς τὰς ἑ. καὶ εἰς τὰ ἅγια (3 a)
To. 1. 6. ἐπορευόμην . . . εἰς Ἰ. ἐν ταῖς ἑ.
2. 1. ἐν τῇ πεντηκοστῇ ἑ. [A τῇ ἑ., S τῆς ἑ. ἡμῶν]
— 6. στραφήσονται αἱ ἑ. ὑμῶν εἰς πένθος
Ju. 8. 6. χωρὶς προσαββάτων . . . καὶ [S om.] ἑορτῶν
10. 2. καὶ ἐν ταῖς ἑ.
Es. 8. 13. ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑ. [A om. ὑ. ἑ.]
Ps. 73 (74). 4. ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑ. [S¹ ὀργῆς] σου (3 a)
— 8. καταπαύσωμεν τὰς ἑ. κυρίου ἀπὸ τῆς γῆς (3 a)
80 (81). 3. ἐν εὐσήμῳ ἡμέρᾳ [A -ας] ἑορτῆς ἡμῶν (1)
117 (118). 27. συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν (1)
Si. 36 (33). 8. ἠλλοίωσε καιροὺς καὶ ἑορτάς
43. 7. ἀπὸ σελήνης σημεῖον ἑορτῆς
47. 10. ἔδωκεν ἐν [S om.] ἑορταῖς εὐπρέπειαν
Ho. 2. 11 (13). ἑορτὰς αὐτῆς καὶ τὰς νουμηνίας αὐ. (1)
9. 5. καὶ ἐν ἡμέρᾳ ἑορτῆς τοῦ κ. (1)
12. 9 (10). καθὼς ἡμέραι ἑορτῆς (3 a)
Am. 5. 21. ἀπῶσμαι ἑορτὰς ὑμῶν (1)
8. 10. μεταστρέψω τὰς ἑ. ὑμῶν εἰς πένθος (1)
Na. 1. 15 (2. 1). ἑόρταζε Ἰούδα τὰς ἑ. σου (1)
Ze. 3. 18. ὡς ἐν ἡμέρᾳ ἑορτῆς (3 a)
Za. 8. 19. καὶ εἰς ἑ. ἀγαθάς (3 a)
14. 16. τοῦ ἑορτάζειν τὴν ἑ. τῆς σκηνοπηγίας (1)
— 18. τοῦ ἑορτάσαι τὴν ἑ. τῆς σκηνοπηγίας (1)
— 19. ἑορτάσαι [A S³ τοῦ ἑ.] τὴν ἑ. τῆς σκηνοπηγίας (1)
Ma. 2. 3. ἔνυστρον ἑορτῶν [A -ῆς] ὑμῶν (1)
Is. 1. 14. τὰς ἑ. ὑμῶν μισεῖ ἡ ψυχή μου (3 a)
Je. 38 (31). 8. συνάξω αὐτοὺς ἀπ' [A ἐπ'] ἐσχάτου τῆς γῆς ἐν ἑορτῇ φασέκ †
Ba. 1. 14. ἐξαγορεῦσαι . . . ἐν ἡμέρᾳ ἑορτῆς
La. 1. 4. παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ (3 a)
2. 6. διέφθειρεν ἑορτὴν αὐτοῦ ἐπελάθετο κύριος ἃ ἐποίησεν ἐν Σιὼν ἑορτῆς (3 a, 3 a)
— 7. φωνὴν ἔδωκαν . . . ὡς ἐν ἡμέρᾳ ἑορτῆς (3 a)
— 22. ἐκάλεσεν ἡμέραν ἑορτῆς παροικίας μου (3 a)
Ez. 23. 34. τὰς ἑ. καὶ τὰς νουμηνίας αὐτῆς ἀποστρέψω †
36. 38. ὡς πρόβατα Ἱερουσαλὴμ ἐν ταῖς ἑ. αὐτῆς (3 a)
44. 24. τὰ προστάγματά μου ἐν πάσαις ταῖς ἑ. μου φυλάξονται (3 a)
45. 17. αἱ σπονδαὶ [A add. ἔσονται] ἐν ταῖς ἑ. . . . καὶ ἐν πάσαις ταῖς ἑ. οἴκου Ἰσραήλ (1, 3 a)
— 21. ἔσται ὑμῖν τὸ πάσχα ἑ. (1)
— 23. τὰς ἑπτὰ ἡμέρας τῆς ἑ. ποιήσει [A -εις] ὁλοκαυτώματα (1)
— 25. ἐν τῇ ἑ. ποιήσεις κατὰ τὰ αὐτὰ ἑπτὰ ἡμέρας (1)
46. 9. ὅταν εἰσπορεύηται ὁ λαὸς τῆς γῆς [A om. τ. γ.] ἐναντίον κυρίου ἐν ταῖς ἑ. (3 a)
— 11. ἐν ταῖς ἑ. . . . ἔσται τὸ μαναὰ πέμμα (1)
I Ma. 1. 39. αἱ ἑ. αὐτῆς ἐστράφησαν εἰς πένθος
— 45. βεβηλῶσαι σάββατα καὶ ἑορτάς
10. 21. ἐν ἑορτῇ σκηνοπηγίας
— 34. πᾶσαι αἱ ἑ. καὶ τὰ σάββατα
— 34. τρεῖς ἡμέραι πρὸ ἑορτῆς καὶ τρεῖς ἡμέραι μετὰ ἑορτήν
12. 11. ἔν τε ταῖς ἑ. . . . μιμνησκόμεθα ὑμῶν
II Ma. 6. 6. οὔτε πατρῴους ἑορτὰς διαφυλάττειν
— 7. γενομένης δὲ Διονυσίων ἑ.
10. 6. μνημονεύοντες . . . τὴν τῶν σκηνῶν ἑ.
12. 31. τῆς τῶν ἑβδομάδων ἑ. οὔσης ὑπογύου
[Aq. Le. 23. 41: Ps. 117 (118). 27: Is. 30. 29: 33. 20: Ma. 2. 3.]
[Sm. Is. 30. 29: 33. 20.]
[Th. Le. 23. 41: Is. 30. 29.]
[Al. Is. 29. 1.]

ἐπαγγελία. (1) אֲגֻדָּה (2) סְפִירָה (3) פָּרָשָׁה

I Es. 1. 7. ταῦτα . . . ἐδόθη κατ' ἐπαγγελίαν τῷ λαῷ

Es. 4. 7. καὶ τὴν ἑ. [S³ ἑ. τοῦ ἀργυρίου] ἣν ἐπηγγείλατο Ἀ. (3)
Ps. 55 (56). 8. ὡς καὶ ἐν τῇ ἑ. σου (2)
Am. 9. 6. τὴν ἑ. αὐ. ἐπὶ τῆς γῆς θεμελιῶν (1 ?)
I Ma. 10. 15. ἤκουσεν Ἀλ. . . . τὰς ἑ.
IV Ma. 12. 9. καὶ ἐπιχαρέντες [S οἱ δὲ χαρ.] μάλιστα ἐπὶ τῇ ἑ. τοῦ παιδός

ἐπαγγέλλειν. (1) אָמַר

Es. 4. 7. ἣν ἐπηγγείλατο Ἀ. [S³ Ἀ. παραστῆσαι] τῷ βασιλεῖ (1)
Pr. 13. 12. κρείσσων . . . τοῦ ἐπαγγελλομένου καὶ εἰς ἐλπίδα ἄγοντος –
Wi. 2. 13. ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ
Si. 20. 23. ἔστι χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ
I Ma. 11. 28. S R ἐπηγγείλατο [A -αντο] αὐτῷ τάλαντα τριακόσια
II Ma. 2. 18. καθὼς ἐπηγγείλατο διὰ τοῦ νόμου
4. 8. ἐπαγγειλάμενος τῷ βασιλεῖ . . . τάλαντα
— 27. τῶν δὲ ἐπηγγελμένων τῷ βασιλεῖ χρημάτων
— 45. ἐπηγγείλατο χρήματα ἱκανὰ τῷ Πτ.
III Ma. 1. 4. ἐπαγγελλομένη δώσειν . . . δύο μνᾶς χρυσίου
2. 10. ἀγαπῶν τὸν οἶκον τοῦ Ἰ. ἐπηγγείλω
[Al. Le. 19. 20.]

ἐπάγειν. (1) אָנַף (2) בּוֹא *a.* qal. *b.* hi. (3) גָּמַל (4) חָמַם (5) חֲלִיפָה (6) חָנֵף hi. (7) מָשַׁךְ (8) נָהַג *a.* qal. *b.* pi. (9) נָחָה hi. (10) נָטָה *a.* qal. *b.* hi. (11) נָכָה hi. (12) נָשָׂא *a.* qal. *b.* hi. (13) עָבַר hi. (14) עָלָה *a.* qal. *b.* hi. (15) עָנָה pi. (16) פָּעַל (17) פָּצַר hi. (18) *a.* פָּקַד *b.* יָצָא לִפְקֹד *c.* פְּקֻדָּה (19) קָדֵשׁ pi. (20) קָרָא (21) שִׂים, שׂוּם (22) שִׁישׁ (23) שׁוּב *a.* qal. *b.* hi. (24) שִׁית (25) שָׁלַח pi. (26) שָׁמֵם hi. (27) שָׁפַךְ (28) ἐπάγειν ὑετόν מָטַר (29) ἐπάγειν ὀργήν זָעַם

Ge. 6. 17. ἐπάγω τὸν κατακλυσμόν (2 b)
7. 4. ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν (28)
8. 1. ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν (13)
18. 19. ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀ. πάντα (2 b)
20. 9. ἐπήγαγες ἐπ' ἐμὲ . . . ἁμαρτίαν μεγάλην (2 b)
26. 10. A καὶ ἐπήγαγες [R add. ἂν] ἐφ' ἡμᾶς ἄγνοιαν (2 b)
27. 12. ἐπάξω ἐπ' ἐμαυτὸν κατάραν (2 b)
Ex. 10. 4. ἰδοὺ ἐγὼ ἐπάγω . . . ἀκρίδα πολλήν (2 b)
— 13. καὶ κύριος ἐπήγαγεν ἄνεμον [A om.] νότον (8 b)
11. 1. ἔτι μίαν πληγὴν ἐπάξω ἐπὶ Φ. (2 b)
15. 19. ἐπήγαγεν ἐπ' αὐτοὺς κύριος τὸ ὕδωρ τῆς θαλάσσης (23 b)
— 26. πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις οὐκ ἐπάξω ἐπὶ σέ (21, 21)
28. 39 (43). οὐκ ἐπάξονται πρὸς ἑαυτοὺς [A ἐφ' ἑαυτοῖς] ἁμαρτίαν (12 a)
32. 21. ὅτι ἐπήγαγες ἐπ' αὐτοὺς ἁμαρτίαν μεγάλην (2 b)
— 34. ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν (18 a)
33. 5. μὴ πληγὴν ἄλλην ἐπάξω [A -άγω] ἐγὼ ἐφ' ὑμᾶς (14 a ?)
34. 7. ἐπάγων ἀνομίας [A ἁμαρτίας] πατέρων ἐπὶ τέκνα (18 a)
Le. 22. 16. ἐπάξουσιν ἐφ' ἑαυτοὺς ἀνομίαν (12 b)
26. 25. ἐπάξω ἐφ' ὑμᾶς μάχαιραν (2 b)
— 36. ἐπάξω δουλείαν [A δειλίαν] εἰς τὴν καρδίαν (2 b)
De. 23. 13 (14). A R ἐπαγαγὼν [B -άγων] καλύψεις τὴν ἀσχημοσύνην σου (23 a)
28. 49. ἐπάξει κύριος ἐπὶ σὲ ἔθνος (12 a)
— 61. πᾶσαν [A om.] πληγὴν . . . ἐπάξει κύριος ἐπὶ σέ (14 b)
29. 27 (26). ὠργίσθη θυμῷ . . . ἐπαγαγεῖν ἐπ' αὐτήν (2 b)
Jo. 23. 15. ἐπάξει κύριος . . . πάντα τὰ ῥήματα τὰ πονηρά (2 b)
24. 7. ἐπήγαγεν ἐπ' αὐτοὺς τὴν θάλασσαν (2 b)
Jd. 4. 7. ἐπάξω πρὸς σὲ εἰς [A ἀπ. σε πρὸς] τὸν χειμάρρουν (7)

Jd. 9. 24. τοῦ ἐπαγαγεῖν τὴν ἀδικίαν τῶν ἑβδομήκοντα υἱῶν (2 *a*)
I Ki. 5. 6. καὶ ἐπήγαγεν αὐτοῖς (26)
15. 23. **A B** ὀδύνη καὶ πόνος [**B** -ην καὶ πόνους] θεραφεὶν [**B** -πείαν] ἐπάγουσιν (17 ?)
30. 22. **A** τὰ τέκνα αὐτοῦ ἐπαγέσθωσαν [**A** ἀπ.] (8 *a*)
II Ki. 17. 14. ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀ. τὰ κακὰ πάντα (2 *b*)
III Ki. 8. 46. καὶ ἐπάξεις [**A** ἐπαρεῖς ἐπ'] αὐτούς (1 ?)
9. 9. ἐπήγαγε κύριος ἐπ' αὐτοὺς τὴν κακίαν ταύτην (2 *b*)
20 (21). 21. ἐγὼ ἐπάγω ἐπὶ σὲ κακά (2 *b*)
— 29. οὐκ ἐπάξω τὴν κακίαν (2 *b*)
— 29. ἐπάξω τὴν κακίαν (2 *b*)
IV Ki. 22. 16. ἐπάγω κακὰ ἐπὶ τὸν τόπον τοῦτον (2 *b*)
— 20. οἷς ἐγώ εἰμι ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον (2 *b*)
I Ch. 4. 10. καὶ ἐπήγαγεν ὁ θεὸς πάντα (2 *b*)
II Ch. 7. 22. ἐπήγαγεν ἐπ' αὐτοὺς πᾶσαν τὴν κακίαν ταύτην (2 *b*)
34. 24. ἐγὼ ἐπάγω κακὰ ἐπὶ τὸν τόπον τοῦτον (2 *b*)
— 28. οἷς ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον (2 *b*)
To. 2. 10. **S** καὶ ἐπήγαγεν λευκώματα [**A B** *al.*]
Ju. 8. 30. **B S** ἐπαγαγεῖν [**A** -ήγαγεν, **B** ἀπ.] ὅρκον ἐφ' ἡμᾶς
Es. 9. 25. ἐπάξαι ἐπὶ τοὺς Ἰουδαίους [**A** ἐπάξαι τοῖς Ἰ.] κακά (23 *a*)
Jb. 10. 17. ἐπήγαγες [**A** -ήγειρας] δὲ ἐπ' ἐμὲ πειρατήρια (5 ?)
22. 17. τί ἐπάξεται [**A** -ξει] ἡμῖν ὁ παντοκράτωρ (16)
34. 28. τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πενήτων (2 *b*)
38. 5. τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς (10 *a*)
42. 11. οἷς ἐπήγαγεν αὐτῷ ὁ κύριος (2 *b*)
Ps. 7. 11. μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν (29)
77 (78). 26. ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα (8 *b*)
87 (88). 7. πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ (15)
Pr. 6. 22. ἐπάγου αὐτὴν καὶ μετὰ σοῦ ἔστω (9)
26. 11. ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν –
Ec. 3. 18. **S**^{1} ἐπάγω [**A B S**^{2} εἶπα ἐγὼ] ἐν καρδίᾳ μου περὶ λαλιᾶς †
Si. 1. 30. ἵνα μὴ . . . ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν
2. 4. πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι
4. 17. φόβον δὲ καὶ δειλίαν ἐπάξει ἐπ' αὐτόν
— 21. ἔστι γὰρ αἰσχύνη ἐπάγουσα [**A**^{1} ἐνάγ.] ἁμαρτίαν
23. 16. τὸ τρίτον ἐπάξει ὀργήν
46. 3. τοὺς γὰρ πολεμίους [**S**^{2} -μους] κύριος [**A S**^{2} -ιου] αὐτὸς ἐπήγαγεν [**A** ἀπήγ.]
47. 20. ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου
48. 2. ἐπήγαγεν ἐπ' αὐτοὺς λιμόν
Ho. 13. 15. ἐπάξει καύσωνα ἄνεμον (2 *a*)
Am. 1. 8. ἐπάξω τὴν χεῖρά μου ἐπὶ Ἀκκ. (23 *b*)
5. 9. ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων (2 *a*)
Ze. 3. 17. ἐπάξει ἐπὶ σὲ εὐφροσύνην (22)
Hg. 1. 11. ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν (20)
Za. 3. 9 (8). **S**^{3} ἐπάγω [**A B S**^{1} ἄγω] τὸν δοῦλόν μου (2 *b*)
13. 7. ἐπάξω [**S**^{3} ἐπιστρέψω] τὴν χεῖρά μου (23 *b*)
Is. 1. 25. ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ (23 *b*)
7. 17. ἐπάξει ὁ θεὸς ἐπὶ σὲ . . . ἡμέρας (2 *b*)
10. 12. **A B S** ἐπάξει [**B** ἐπισκέψομαι] ἐπὶ τὸν νοῦν (18 *a*)
— 24. πληγὴν γὰρ ἐπάγω ἐπὶ σέ (12 *a*)
15. 7. ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα Ἄραβας (18 *c*)
— 9. ἐπάξω γὰρ ἐπὶ Δειμὼν Ἄραβας (24)
24. 21. ἐπάξει ὁ θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα (18 *a*)
26. 14. ἐπήγαγες καὶ ἀπώλεσας (18 *a*)
— 21. ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς (18 *b*)
27. 1. ἐπάξει ὁ θεὸς τὴν μάχαιραν (18 *a*)
31. 3. ἐπάξει τὴν χεῖρα αὐ. ἐπ' αὐτούς (10 *b*)
42. 25. ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ (27)
48. 9. τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σέ [**A S** σοί] (4 ?)
63. 7. ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ (3)
Je. 4. 6. κακὰ ἐγὼ ἐπάγω ἀπὸ βορρᾶ (2 *b*)
5. 15. ἐπάγω ἐφ' ὑμᾶς ἔθνος πόρρωθεν (2 *b*)
6. 19. ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακά [**S** *al.*] (2 *b*)
11. 11. ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακά (2 *b*)
— 23. ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας (2 *b*)
15. 8. ἐπήγαγον ἐπὶ μητέρα νεανίσκους [**S** -κου] ταλαιπωρίαν (2 *b*)
17. 18. ἐπάγαγε ἐπ' αὐτοὺς ἡμέραν [**A** λιμὸν] πονηράν (2 *b*)
18. 22. ἐπάξεις [**A** -άγαγε] ἐπ' αὐτοὺς λῃστάς (2 *b*)
19. 3. ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακά (2 *b*)
Je. 19. 15. ἐπάγω ἐπὶ τὴν πόλιν τ. . . . κακά (2 *b*)
22. 7. ἐπάξω [**A** εἰσάξω] ἐπὶ σὲ [**S** σοὶ] ἄνδρα ὀλεθρεύοντα (19)
23. 12. ἐπάξω ἐπ' αὐτοὺς κακά (2 *b*)
25. 13. ἐπάξω [**A** πατάξω] ἐπὶ τὴν γῆν ἐκείνην πάντας τοὺς λόγους μου (2 *b*)
— 15 (49. 36). ἐπάξω ἐπὶ Αἰλὰμ τέσσαρας ἀνέμους (2 *b*)
— 16 (49. 37). ἐπάξω ἐπ' αὐτοὺς [**S** *add.* κακὰ] κατὰ τὴν ὀργήν (2 *b*)
28 (51). 64. ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτήν (2 *b*)
31 (48). 44. ἐπάξω ταῦτα ἐπὶ Μωάβ (2 *b*)
39 (32). 42. καθὰ ἐπήγαγον ἐπὶ τὸν λαὸν τοῦτον πάντα τὰ κακὰ . . . ἐπάξω [**A** -άγω] ἐπ' αὐτοὺς πάντα τὰ ἀγαθά (2 *b*, 2 *b*)
40 (33). 6. **A** ἐπάγω ἐπ' αὐτοὺς συνούλωσιν [**B S** *al.*] (14 *b*)
43 (36). 31. ἐπάξω ἐπ' αὐτὸν . . . τὰ κακά (2 *b*)
49 (42). 17. ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτούς (2 *b*)
51 (44). 2. ἃ ἐπήγαγον [**S** ἤγ.] ἐπὶ Ἰερ. (2 *b*)
51. 35 (45. 5). ἐπάγω κακὰ ἐπὶ πᾶσαν σάρκα (2 *b*)
Ba. 2. 9. ἐπήγαγε κύριος ἐφ' ἡμᾶς
4. 9. ἐπήγαγέ μοι ὁ θεὸς πένθος μέγα
— 10, 14. ἣν ἐπήγαγεν αὐτοῖς ὁ αἰώνιος
— 15. ἐπήγαγε γὰρ ἐπ' αὐτοὺς ἔθνος μακρόθεν
— 18. ὁ γὰρ ἐπαγαγὼν τὰ κακά [**A** *add.* ὑμῖν]
— 27. ἔσται γὰρ ὑμῶν ὑπὸ τοῦ ἐπάγοντος μνεία
— 29. ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην
La. 1. 21. ἐπήγαγες ἡμέραν (2 *b*)
Ez. 5. 1. ἐπάξεις αὐτὴν ἐπὶ τὴν κεφαλήν σου (13)
— 17. ῥομφαίαν ἐπάξω ἐπὶ σὲ κυκλόθεν (2 *b*)
6. 3. ἐπάγω ἐφ' ὑμᾶς ῥομφαίαν (2 *b*)
11. 8. ῥομφαίαν ἐπάξω ἐφ' ὑμᾶς (2 *b*)
13. 13. τοὺς λίθους τοὺς πετροβόλους ἐν θυμῷ ἐπάξω –
14. 15. ἐὰν καὶ θηρία πονηρὰ ἐπάγω ἐπὶ τὴν γῆν (13)
— 17. ῥομφαίαν ἐὰν ἐπάγω [**A** -αγάγω] ἐπὶ τὴν γῆν ἐκείνην (2 *b*)
— 19. **A** θάνατον ἐπάγω ἐπὶ τὴν γῆν ἐκ. [**B** *al.*] (25)
— 22. ἃ ἐπήγαγον ἐπὶ Ἰερ. πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπ' αὐτήν (2 *b*, 2 *b*)
22. 13. **B** ἐὰν δ' ἐπάξω [**A B** δὲ πατάξω] χεῖρά μου (11)
23. 22. ἐπάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν (2 *b*)
26. 7. ἐπάγω [**B**^{1} *om.*] ἐπὶ σέ, Σόρ, τὸν Ναβ. (2 *b*)
28. 7. ἐπάγω ἐπὶ σὲ ἀλλοτρίους λοιμούς (2 *b*)
29. 8. ἐπάγω ἐπὶ σὲ ῥομφαίαν (2 *b*)
30. 24. ἐπάξει αὐτὴν ἐπ' Αἴγυπτον †
33. 2. ἐφ' ἣν ἂν ἐπάγω ῥομφαίαν [**A** *al.*] (2 *b*)
39. 21. ἣν ἐπήγαγον ἐπ' αὐτούς (21)
Da. LXX. 3. (28). ἃ ἐπήγαγες ἡμῖν
— (31). ὅσα ἡμῖν ἐπήγαγες
4. 23. ἐπάξουσι τὰ κεκριμένα ἐπὶ σέ –
9. 12. ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα (2 *b*)
— 14. καὶ ἐπήγαγεν ἐφ' ἡμᾶς (2 *b*)
Da. TH. 3. (28). ἃ ἐπήγαγες ἡμῖν
— (28). ἐπήγαγες ταῦτα πάντα
— (31). **B** ὅσα ἐπήγαγες ἡμῖν
9. 12. ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα (2 *b*)
— 14. ἐπήγαγεν αὐτὰ ἐφ' ἡμᾶς (2 *b*)
11. 32. ἐπάξουσιν [**A** ἐξ.] ἐν ὀλισθήμασι (6 ?)
II Ma. 7. 38. **B** τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν γένος . . . ἐπηγμένην [**A** ἐπημμένην]
III Ma. 2. 4. **B** ἐπαγαγὼν αὐτοῖς [**A** -οὺς] ἀμέτρητον ὕδωρ
IV Ma. 4. 13. **A B** τούτοις ἐπαχθεὶς [**S** ὑπ.] τοῖς λόγοις
[**Aq.** Ge. 3. 14 (13): Ps. 54 (55). 16: Je. 18. 22: 35 (42). 17: 49. 32 (30. 10).]
[**Sm.** Ps. 77 (78). 26: Je. 18. 22: 35 (42). 17: 49. 32 (30. 10): La. 1. 5.]
[**Th.** Jb. 34. 28: Is. 54. 9: Je. 11. 8: 18. 22: 35 (42). 17.]
[**Al.** Hb. 3. 16.]

ἐπαγωγή. (1) אַסִּיר (2) עָצַר

De. 32. 36. ἐκλελοιπότας ἐν ἐπαγωγῇ (2)
Si. 2. 2. μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς
3. 28. ἐπαγωγὴ ὑπερηφάνου οὐκ ἔστιν ἴασις
5. 8. ἐν ἡμέρᾳ ἐπαγωγῆς
10. 13. παρεδόξασε κύριος τὰς ἐ.
23. 11. πλησθήσεται γὰρ ἐπαγωγῶν ὁ οἶκος αὐτοῦ
25. 14. πᾶσαν ἐπαγωγὴν καὶ μὴ ἐπαγωγὴν μισούντων
38. 19. **A S**^{2} ἐν ἐπαγωγῇ παραμένει [**B S**^{1} *al.*]
40. 9. **A B**^{2} **S** ἐπαγωγαὶ λιμὸς καὶ σύντριμμα
Is. 10. 4. **A S** τοῦ μὴ ἐμπεσεῖν εἰς ἐπαγωγὴν [**B** ἀπ.] (1)
14. 17. τοὺς ἐν ἐπαγωγῇ οὐκ ἔλυσε (1)
[**Th.** Pr. 27. 10.]

ἐπαγωγός.

IV Ma. 8. 15. οἱ δὲ ἀκούσαντες ἐπαγωγά

ἐπᾴδειν, ἐπαείδειν. (1) בַּעַל הַלָּשׁוֹן (2) חָבַר (3) *a.* לָחַשׁ pi. *b.* לַחַשׁ

De. 18. 11. **B**^{1} **R** ἐπαείδων [**A B**^{2} -αοιδῶν] ἐπαοιδήν (2)
Ps. 57 (58). 5. ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων (3 *a*)
Ec. 10. 11. οὐκ ἔστι περισσεία τῷ ἐπᾴδοντι (1)
Je. 8. 17. οἷς οὐκ ἔστιν ἐπᾶσαι [**A**^{1} ἐπιλῆσαι, **A**^{2} ἐπιλαλῆσαι] (3 *b*)
[**Aq.** Ps. 57 (58). 6.]

ἐπαινεῖν. (1) הָלַל *a.* pi. *b.* po. *c.* hithp. (2) שָׁבַח pi.

Ge. 12. 15. καὶ ἐπῄνεσαν αὐτὴν πρὸς Φαραώ (1 *a*)
Ju. 6. 20. ἐπῄνεσαν αὐτὸν σφόδρα
Ps. 9. 24 (10. 3). ἐπαινεῖται ὁ ἁμαρτωλός (1 *a*)
33 (34). 2. **A B**^{1} **S**^{1} ἐπαινεσθήσεται [**B**^{3} **S**^{2} **R** ἐπαινεθ.] ἡ ψυχή μου (1 *c*)
43 (44). 8. **A S**^{2} **R** ἐν τῷ θεῷ ἐπαινεθησόμεθα [**B S**^{1} ἐπαινεσθ.] ὅλην τὴν ἡμέραν (1 *a*)
55 (56). 3. ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου (1 *a*)
62 (63). 3. τὰ χείλη μου ἐπαινέσουσί σε (2)
— 11. ἐπαινεθήσεται [**B**^{1} **S**^{1} -νεσθ.] πᾶς ὁ ὀμνύων ἐν αὐτῷ (1 *c*)
63 (64). 10. **B**^{3} **R** ἐπαινεθήσονται [**B**^{1} **S** -νεσθ.] πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ (1 *c*)
101 (102). 8. οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον (1 *b*)
104 (105). 3. ἐπαινεῖσθε ἐν τῷ ὀνόμ. τῷ ἁγίῳ αὐ. (1 *c*)
105 (106). 5. τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας [**S**^{1} ἐν τῇ κλ.] σου (1 *c*)
116 (117). 1. **R** ἐπαινέσατε [**A** -σάτωσαν, **S**^{1} αἰνεσάτωσαν] αὐτὸν πάντες οἱ λαοί (2)
144 (145). 4. γενεὰ καὶ γενεὰ ἐπαινέσει [**A**^{1} αἰν.] τὰ ἔργα σου (2)
147. 1 (12). ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον (2)
Ec. 4. 2. ἐπῄνεσα ἐγὼ σύμπαντας [**A S** σὺν] τοὺς τεθνηκότας (2)
8. 10. ἐπορεύθησαν καὶ ἐπῃνέθησαν ἐν τῇ πόλει †
— 15. ἐπῄνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην (2)
Si. *prol.* 3. δέον ἐστὶν ἐπαινεῖν τὸν Ἰ. παιδείας
9. 17. **A B**^{1} **S**^{1} ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινεσθήσεται [**B**^{3} **S**^{2} **R** -εθήσεται]
27. 7. πρὸ λογισμοῦ μὴ ἐπαινέσῃς [**A** -νει] ἄνδρα
Da. LXX. 5. 1. ἐπῄνεσε πάντας τοὺς θεοὺς τῶν ἐθνῶν –
III Ma. 4. 16. μὴ δυνάμενα . . . ἀρήγειν ἐπαινῶν
IV Ma. 1. 10. ἔπεστί μοι ἐπαινεῖν τοὺς . . . ἀποθανόντας
2. 2. ταύτῃ γοῦν ὁ σώφρων Ἰ. ἐπαινεῖται
4. 4. **A S** τὸν μὲν Σίμωνα τῆς . . . κηδεμονίας ἐπαινεῖ [**R** -ήνει]
13. 3. τῷ ἐπαινουμένῳ λογισμῷ . . . περιεγένοντο τῶν παθῶν
— 17. καὶ πάντες οἱ πατέρες ἐπαινέσουσι
[**Aq.** Ca. 6. 8 (9).]
[**Sm.** Jb. 29. 21: Ps. 29 (30). 5: 48 (49). 19: 77 (78). 63: Pr. 12. 8: Ca. 6. 8 (9): Is. 41. 16: Ho. 3. 5.]
[**Th.** Ps. 77 (78). 63.]
[**Al.** Ps. 47 (48). 13.]
[**Quint.** Ps. 55 (56). 5: 77 (78). 63.]

ἐπαινετός (-εστός). (1) הָלַל pu.

Ez. 26. 17. κατελύθης ἐκ θαλάσσης ἡ πόλις ἡ ἐ. (1)
[**Aq., Sm., Th.** Je. 49. 25 (30. 14).]

ἔπαινος. (1) הָדָר (2) חֶמְדָּה (3) תְּהִלָּה

I Ch. 16. 27. δόξα καὶ ἔπαινος κατὰ πρόσωπον αὐτοῦ (1)
II Ch. 21. 20. ἐπορεύθη οὐκ ἐν [**A** ἐν οὐκ] ἐπαίνῳ (2)
Ps. 21 (22). 3. ὁ ἔ. Ἰσραήλ (3)
— 25. παρὰ σοῦ ὁ ἔ. μου ἐν ἐκκλησίᾳ (3)
34 (35). 28. ἡ γλῶσσά μου μελετήσει . . . ὅλην τὴν ἡμέραν τὸν ἔ. [**A** ὁ ἔ.] σου (3)
Wi. 15. 19. ἐκπέφευγε δὲ καὶ τὸν τοῦ θεοῦ ἔ.
Si. 39. 10. τὸν ἔ. αὐτοῦ ἐξαγγελεῖ ἐκκλησία
44. 8. τοῦ ἐκδιηγήσασθαι ἐπαίνους
— 15. τὸν ἔ. [**A** ἔ. αὐτῶν] ἐξαγγέλλει ἐκκλησία
IV Ma. 1. 2. τῆς μεγίστης ἀρετῆς . . . περιέχει ἔπαινον
[**Aq.** Ps. 148. 14: Je. 51 (28). 41.]
[**Sm.** Ps. 8. 2: 44 (45). 4: 110 (111). 3: Is. 42. 8: Je. 51 (28). 41.]
[**Th.** Ps. 9. 15.]
[**Al.** Ps. 144 (145). 5.]

ἐπαίρειν. (1) אָנֵף (2) גָּבַהּ (3) גִּבּוֹר (4) גִּיל לֵב (5) דָּמַם (6) טוּל hi. (7) *a.* נָסַע hi. *b.* מַסָּע (8) מַעַל (9) מַשּׂוּאוֹת (10) נוּעַ (11) נוּף hi. (12) נָטָה hi. (13) נָטִיל (14) נָשָׂא *a.* qal. *b.* ni. *c.* pi. *d.* hithp. *e.* נְשָׂא ithp. *f.* מַשָּׂא *g.* נָשִׂיא (15) נָשָׂא hi. (16) נָתַן (17) סָלָא pu. (18) עָלָה ni. (19) עָרָה hithp. (20) רוּם *a.* ni. *b.* hi. (21) שָׁעַן ni.

Ge. 7. 17. καὶ ἐπῆρε τὴν κιβωτόν (14 *a*)
13. 10. ἐπάρας Λὼτ τοὺς ὀφθαλμοὺς αὐ. (14 *a*)
Ex. 7. 20. ἐπάρας τῇ ῥάβδῳ [A Ἀαρὼν τὴν ῥ.] αὐτοῦ (20 *a*)
10. 13. καὶ ἐπῆρε Μ. τὴν ῥάβδον εἰς τὸν οὐρ. (12)
14. 16. καὶ σὺ ἔπαρον τῇ ῥάβδῳ [A τὴν ῥάβδον] σου (20 *b*)
17. 11. ὅταν ἐπῆρε Μ. τὰς χεῖρας (20 *b*)
Nu. 6. 26. ἐπάραι κ. τὸ πρόσωπον αὐ. ἐπὶ σέ (14 *a*)
20. 11. ἐπάρας Μ. τὴν χεῖρα αὐτοῦ (20 *b*)
Jd. 2. 4. ἐπῆραν [A -εν] ὁ λαὸς τὴν φωνὴν αὐ. (14 *a*)
9. 7. ἐπῆρε τὴν φωνὴν αὐτοῦ (14 *a*)
11. 1. καὶ Ἰ. . . . ἐπηρμένος δυνάμει [A *al.*] (3)
21. 2. A ἐπῆραν τὴν [B ἦραν] φωνὴν αὐτῶν (14 *a*)
Ru. 1. 9, 14. ἐπῆραν τὴν φωνὴν αὐτῶν (14 *a*)
I Ki. 20. 33. ἐπῆρε Σ. τὸ δόρυ ἐπὶ Ἰ. (6)
II Ki. 5. 12. ἐπήρθη ἡ βασιλεία αὐτοῦ (14 *c*)
13. 36. καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν (14 *a*)
18. 24. καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ (14 *a*)
— 28. B τοὺς ἐπαραμένους [A ἀντάραντας, B μισοῦντας] τὴν χεῖρα αὐτῶν (14 *a*)
20. 21. καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ (14 *a*)
III Ki. 1. 5. Ἀδ. υἱὸς Ἀ. ἐπήρετο (14 *d*)
8. 1. A ἐπησμένους [? ἐπηρμ.] τῶν πατέρων τῶν υἱῶν Ἰ. (14 *g*)
— 46. A καὶ ἐπαρεῖς ἐπ' [B -άγεις] αὐτούς (1)
11. 27. ὡς ἐπήρατο χεῖρας ἐπὶ βασιλέα Σ. (20 *b*)
12. 24. B καὶ ἦν ἐπαιρόμενος ἐπὶ τὴν βασ. –
IV Ki. 9. 32. καὶ ἐπῆρε τὸ πρόσωπον αὐτοῦ (14 *a*)
14. 10. καὶ ἐπῆρέ σε καρδία σου (14 *a*)
18. 29. μὴ ἐπαιρέτω ὑμᾶς Ἑ. λόγοις [A *om.*] (15)
19. 10. μὴ ἐπαιρέτω [A -ερωτῇ] σε ὁ θεός σου (15)
I Ch. 21. 16. ἐπῆρε Δ. τοὺς ὀφθαλμοὺς αὐ. (14 *a*)
II Ch. 25. 19. ἐπαίρει σε ἡ καρδία ἡ βαρεῖα (14 *a*)
35. 3. A ἐπᾶραι [B ἆραι] ἐπ' ὤμων οὐθέν (14 *f*)
II Es. 4. 19. ἡ πόλις ἐκείνη . . . ἐπὶ βασιλεῖς ἐπαίρεται (14 *e*)
7. 28. πάντων τῶν ἀρχόντων τοῦ βασιλέως τῶν ἐπηρμένων (3)
Ne. 8. 6. A S^{2} B ἐπάραντες τὰς χεῖρας αὐτῶν (8)
Es. 3. 13. A^{2} B S μὴ τῷ θράσει τῆς ἐξουσίας ἐπαιρόμενος
8. 13. τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες
Jb. 31. 21. εἰ ἐπῆρα ὀρφανῷ χεῖρα (11)
41. 17 (18). S^{2} οὐδὲν οὐ μὴ ποιήσωσιν δόρυ ἐπηρμένον [A B S^{1} *om.*] (7 *b*)
Ps. 8. 1. ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν (16)
23 (24). 7. ἐπάρθητε πύλαι αἰώνιοι (14 *b*)
— 9. ἐπάρθητε πύλαι αἰώνιοι (14 *a*)
27 (28). 9. ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος (14 *c*)
36 (37). 35. εἶδον τὸν ἀσεβῆ . . . ἐπαιρόμενον (19)
46 (47). 9. τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν (18)
72 (73). 18. B^{2} S R κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι (9 ?)
73 (74). 3. ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος (20 *b*)
74 (75). 5. μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν (20 *b*)
77 (78). 26. ἀπῆρε [B^{1} ἐπ.] νότον ἐξ οὐρανοῦ (7 *a*)
92 (93). 3. ἐπῆραν οἱ ποταμοί, κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν (14 *a*, 14 *a*)
101 (102). 10. ὅτι ἐπάρας κατέρραξάς με (14 *a*)
105 (106). 26. ἐπῆρε τὴν χεῖρα αὐ. ἐπ' αὐτούς (14 *a*)
133 (134). 2. ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια (14 *a*)
Pr. 3. 5. ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου (21)
19. 18. εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου (14 *a*)
24. 17. ἐν δὲ τῷ ὑποσκελίσματι αὐ. μὴ ἐπαίρου (4)
— 36 (30. 13). τοῖς δὲ βλεφάροις αὐτοῦ ἐπαίρεται (14 *b*)
Si. 6. 2. μὴ ἐπάρῃς σεαυτὸν ἐν βουλῇ ψυχῆς σου
11. 4. ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου
33 (36). 3. ἔπαρον τὴν χεῖρά σου ἐπὶ ἔθνη ἀλλότρια
35 (32). 1. ἡγούμενόν σε κατέστησαν μὴ ἐπαίρου
46. 2. ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτοῦ
47. 4. ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης
48. 18. ἐπῆρεν ἡ χεὶρ [A ἐπ. χεῖρα] αὐτοῦ ἐπὶ Σιών
50. 20. ἐπῆρε χεῖρας αὐτοῦ ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν Ἰσραήλ
Ob. 1. 3. ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέ σε (15)
Hb. 3. 11 (10). ἐπήρθη ὁ ἥλιος (14 *a*)
Ze. 1. 11. πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ (13)
Za. 1. 21 (2. 4). τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας (14 *a*)
Is. 6. 1. ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου (14 *b*)
— 4. ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς (10)
Je. 13. 15. μὴ ἐπαίρεσθε ὅτι κύριος ἐλάλησε (2)
29 (47). 6. ἀνάπαυσαι καὶ ἐπάρθητι (5)
La. 4. 2. υἱοὶ Σιὼν οἱ τίμιοι οἱ [A *om.*] ἐπηρμένοι ἐν χρυσίῳ (17)
Ez. 10. 15. A ἐπῆραν τὰ χερουβείν [B *al.*] (20 *a*)
17. 14. τὸ καθόλου μὴ ἐπαίρεσθαι (14 *d*)
18. 6. τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐ μὴ ἐπάρῃ πρὸς [A ἐπὶ] τὰ ἐνθυμήμ. οἴκου Ἰ. (14 *a*)
Da. TH. 11. 14. ἐπαρθήσονται τοῦ στῆσαι ὅρασιν (14 *d*)
I Ma. 1. 3. ἐπήρθη ἡ καρδία αὐτοῦ
2. 63. σήμερον ἐπαρθήσεται
8. 5. καὶ τοὺς ἐπηρμένους ἐπ' αὐτούς
10. 70. σὺ μονώτατος ἐπαίρῃ ἐφ' ἡμᾶς
II Ma. 7. 34. R ἐπαιρόμενος [A ἐπαράμ.] χεῖρα
9. 4. ἐπαρθεὶς δὲ τῷ θυμῷ
III Ma. 2. 21. τὸν ὕβρει . . . μεγάλως ἐπηρμ.
6. 4. ἐπαρθέντα ἀνόμῳ θράσει
[**Aq.** III KI. 8. 1 : JB. 4. 2 : Ps. 4. 7 : 23 (24). 7 : 27 (28). 9 : 92 (93). 3 : 137 (138). 6 : Is. 30. 25 : 40. 4, 9 : 52. 13 : 57. 7 : 63. 9 *bis* : JE. 44 (51). 14 : 49. 16 (29. 17) : 51 (28). 9 : 52. 31 : Ez. 12. 10 : 32. 29.]
[**Sm.** GE. 33. 1 : JB. 15. 12 : Ps. 26 (27). 6 : 54 (55). 9 : 74 (75). 5, 6 : 82 (83). 3 : 138 (139). 20 : 139 (140). 9 : Is. 6. 1 : 10. 24 : 24. 14 : 30. 25 : 42. 11 : 52. 8, 13 : 57. 7 : 63. 9 *bis* : JE. 6. 1 : 13. 20 : 49. 16 (29. 17) : 52. 31 : Ez. 1. 19 : 10. 16 : 17. 23 : 20. 15 : 32. 29 : ZA. 9. 16.]
[**Th.** JB. 15. 12 : Ps. 4. 7 : PR. 30. 32 : Is. 10. 24 : 42. 11 : 52. 8, 13 : 57. 7 : 63. 9 *bis* : JE. 52. 31 : Ez. 32. 29.]
[**Al.** Ps. 9. 33 (10. 12) : Ez. 10. 16.]

ἐπαισχύνεσθαι. (1) בּוֹשׁ (2) חָפֵר (3) נָשָׂא

Jb. 34. 19. ὃς οὐκ ἐπαισχυνθῇ [A αἰσχ.] πρόσωπον ἐντίμου (3)
Ps. 118 (119). 6. A S^{1} οὐ μὴ ἐπαισχυνθῶ [S^{2} R αἰσχ.] (1)
Is. 1. 29. A ἐπαισχυνθήσονται ἐπὶ τοῖς κήποις [B S *al.*] (2)

ἐπαιτεῖν. (1) שָׁאַל pi.

Ps. 108 (109). 10. καὶ ἐπαιτησάτωσαν (1)
Si. 40. 28. κρεῖσσον ἀποθανεῖν ἢ ἐπαιτεῖν

ἐπαίτησις.

Si. 40. 28. ζωὴν ἐπαιτήσεως μὴ βιώσῃς
— 30. ἐν στόματι ἀναιδοῦς γλυκανθήσεται ἐπαίτησις [S ἀπ.]

ἐπαίτιος.

Si. 37. 11. A S^{2} μετὰ μισθίου ἐπαιτίου [B ἀφεστίου, S^{1} R ἐφεστίου] περὶ συντελείας

ἐπακολουθεῖν. (1) *a.* אַחַר *b.* הָלַךְ אַחַר *c.* מִלֵּא אַחַר (2) הָלַךְ (3) פָּנָה אֶל (4) תּוּשִׁיָּה

Le. 19. 4. οὐκ ἐπακολουθήσετε εἰδώλοις (3)
— 31. οὐκ ἐπακολουθήσετε [A -θήσεσθε] ἐγγαστριμύθοις (3)
20. 6. ἢ ἐὰν ἐπακολουθήσῃ ἐγγαστριμύθοις (3)
Nu. 14. 24. καὶ ἐπηκολούθησέ μοι (1 *c*)
De. 12. 30. μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς (1 *a*)
Jo. 6. 7 (8). ἡ κιβωτὸς τῆς διαθήκης κυρίου ἐπακολουθείτω (1 *a*)
14. 8. ἐπακολουθῆσαι κυρίῳ τῷ θεῷ μου (1 *a*)
— 9. ἐπακολουθῆσαι ὀπίσω κ. τοῦ θεοῦ ἡμῶν (1 *a*)
— 14. διὰ τὸ αὐτὸν ἐπακολουθῆσαι τῷ προστάγματι κυρίου (1 *c*)
Ju. 14. 4. ἐπακολουθήσαντες ὑμεῖς . . . καταστρώσατε αὐτούς
Es. 5. 1. ἡ δὲ ἑτέρα ἐπηκολούθει
Jb. 26. 3. τίνι ἐπακολουθήσεις [A -θεῖς] (4 ?)
31. 7. εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου (1 *b*)
Pr. 7. 22. ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς (1 *b*)
Si. 46. 6. ἐπηκολούθησεν ὀπίσω δυνάστου
Is. 55. 3. ἐπακολουθήσατε ταῖς ὁδοῖς μου (2)
[**Sm.** GE. 6. 10 (9).]

ἐπακούειν. (1) אָזַן hi. (2) אָמַר (3) δεήσεως *i.* עוּר hi. (4) עָנָה *a.* qal. *b.* ni. *c.* מַעֲנֶה (5) עָשָׂה (6) עָתַר ni. (7) קָשַׁב hi. (8) רָדַד (9) שָׁמַע, שְׁמַע *a.* qal. *b.* ni.

Ge. 16. 11. ἐπήκουσε κύριος τῇ ταπεινώσει σου (9 *a*)
17. 20. ἐπήκουσά σου (9 *a*)
21. 17. ἐπακήκοε γὰρ ὁ θεὸς τῆς φωνῆς τοῦ π. (9 *a*)
25. 21. ἐπήκουσε δὲ αὐτοῦ ὁ θεός (6)
27. 13. R μόνον ἐπάκουσόν [A ὑπάκ.] μου τῆς φωνῆς (9 *a*)
30. 6. καὶ ἐπήκουσε τῆς φωνῆς μου (9 *a*)
— 17. A καὶ ἐπήκουσεν αὐτῆς ὁ θεός [R *al.*] (9 *a*)
— 22. καὶ ἐπήκουσεν αὐτῆς ὁ θεός (9 *a*)
— 33. ἐπακούσεταί μοι ἡ δικαιοσύνη μου (4 *a*)
35. 3. A τῷ θεῷ τῷ ἐπακούσαντί μου [R μοι] (4 *a*)
De. 26. 14. B ἐπήκουσα [A R ὑπ.] τῆς φωνῆς κυρίου (9 *a*)
— 14. B ἐπήκουσα καθότι [A R ἐποίησα καθὰ] ἐνετείλω μοι (5)
Jo. 10. 14. ὥστε ἐπακοῦσαι θεὸν ἀνθρώπου (9 *a*)
22. 2. B ἐπηκούσατε [R ὑπηκ., A οὐκ εἰσηκ.] τῆς φωνῆς μου (9 *a*)
Jd. 2. 16 (17). A τῶν αὐτῶν οὐκ ἐπήκουσαν [B *al.*] (9 *a*)
13. 9. A ἐπήκουσεν [B εἰσήκ.] ὁ θεὸς τῆς φωνῆς Μ. (9 *a*)
I Ki. 7. 9. ἐπήκουσεν αὐτοῦ κύριος (4 *a*)
8. 18. οὐκ ἐπακούσεται κύριος ὑμῶν (4 *a*)
28. 15. οὐκ ἐπακήκοέ μοι [A μου] ἔτι (4 *a*)
30. 24. A R τίς ἐπακούσεται [B ὑπ.] ὑμῶν τῶν λόγων τούτων (9 *a*)
II Ki. 21. 14. ἐπήκουσεν ὁ θεὸς τῇ γῇ (6)
22. 7. ἐπακούσεται ἐκ ναοῦ αὐτοῦ φωνῆς μου (9 *a*)
— 42. R οὐκ ἐπήκουσεν [A B ὑπ.] αὐτῶν (4 *a*)
24. 25. ἐπήκουσε κύριος τῇ γῇ (6)
III Ki. 18. 24. ὃς ἐὰν ἐπακούσῃ ἐν πυρί (4 *a*)
— 26. ἐπάκουσον ἡμῶν, ὁ Β., ἐπάκουσον ἡμῶν (–, 4 *a*)
— 36. B ἐπάκουσόν μου, κύριε, ἐπάκουσόν μου –
— 37. ἐπάκουσόν μου, κύριε, ἐπάκουσόν μου (4 *a*, 4 *a*)
IV Ki. 13. 4. καὶ ἐπήκουσεν αὐτοῦ κύριος (9 *a*)
I Ch. 5. 20. καὶ ἐπήκουσεν αὐτοῖς (6)
21. 26. καὶ ἐπήκουσεν αὐτῷ ἐν πυρί (4 *a*)
— 28. ἐπήκουσεν [A εἰσήκ.] αὐτῷ (4 *a*)
29. 23. B καὶ ἐπήκουσαν [R ὑπ., A ὑπήκουσεν] αὐτοῦ πᾶς Ἰ. (9 *a*)
II Ch. 6. 19. τοῦ ἐπακοῦσαι τῆς δεήσεως (9 *a*)
11. 4. καὶ ἐπήκουσαν [A ὑπ.] τοῦ λόγου κυρίου (9 *a*)
24. 17. ἐπήκουσεν αὐτοῖς ὁ βασιλεύς (9 *a*)
25. 16. οὐκ ἐπήκουσας τῆς συμβουλίας μου (9 *a*)
30. 20. καὶ ἐπήκουσε κύριος τῷ Ἑ. (9 *a*)
— 27. καὶ ἐπηκούσθη ἡ φωνὴ αὐτῶν (9 *b*)
32. 24. καὶ ἐπήκουσεν αὐτῷ [A B^{2} -οῦ] (2)
33. 10. καὶ οὐκ ἐπήκουσαν [A ἤκ., B^{1} -εν] (7)
— 13. καὶ ἐπήκουσεν αὐτοῦ καὶ ἐπήκουσε τῆς βοῆς αὐτοῦ (6, 9 *a*)
— 19. καὶ [A καὶ ὡς] ἐπήκουσεν αὐτοῦ (6)
II Es. 8. 23. καὶ ἐπήκουσεν ἡμῖν (6)
Ju. 14. 15. ὡς δὲ οὐθεὶς ἐπήκουσε [A ὑπ.]
Es. 4. 17. ἐπάκουσον τῆς δεήσεώς μου
Jb. 8. 6. δεήσεως ἐπακούσεταί σου (3)
33. 12. δίκαιός εἰμι καὶ οὐκ ἐπακήκοέ μου (4 *a*)
— 13. διὰ τί τῆς δίκης μου οὐκ ἐπακήκοέ μου πᾶν ῥῆμα [A S *al.*] (4 *a*)
37. 23. οὐκ οἴει ἐπακούειν [S -σειν] αὐτόν [A *al.*] (4 *a*)
38. 34. S τρόμῳ ὕδατος λάβρῳ ἐπακούσεταί σου [A B *al.*] †
Ps. 3. 4. ἐπήκουσέ [A εἰσήκουσέν] μου (4 *a*)
16 (17). 6. B S^{2} ἐπήκουσάς [S^{1} εἰσήκ., A εἰσήκουσέν] μου, ὁ θεός (4 *a*)

Ps. 17 (18). 44. A εἰς ἀκοὴν ὠτίου ἐπήκουσάς μου [B S al.] (9 b)
19 (20). 1. ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεως (4 a)
— 6. ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐ. (4 a)
— 9. ἐπάκουσον ἡμῶν (4 a)
21 (22). 24. A ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέν [B S εἰσήκ.] μου (9 a)
33 (34). 4. καὶ ἐπήκουσέ μου (4 a)
51 (52). 9. S[1] ὅτι ἐπήκουσάς μου [B S[2] al.] (5)
59 (60). 5. καὶ ἐπάκουσόν μου (4 a)
64 (65). 5. ἐπάκουσον ἡμῶν, ὁ θεός (4 a)
68 (69). 13. ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου [B[1] S om.] (4 a)
— 17. ταχὺ ἐπάκουσόν μου (4 a)
80 (81). 7. ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος (4 a)
85 (86). 1. A S καὶ ἐπάκουσόν [B εἰσάκ.] μου (4 a)
— 7. A S[2] ὅτι ἐπήκουσάς [B S[1] εἰσήκ.] μου (4 a)
90 (91). 15. A S[2] καὶ ἐπακούσομαι [B S[1] εἰσακ.] αὐτοῦ (4 a)
98 (99). 6. B αὐτὸς ἐπήκουσεν [A S εἰσήκ., R εἰσήκουεν] αὐτοῖς [A S -ῶν, R om.] (4 a)
— 8. σὺ ἐπήκουες [S[1] -σας] αὐτῶν (4 a)
101 (102). 2. S ταχὺ ἐπάκουσόν [A B εἰσάκ.] μου (4 a)
107 (108). 6. καὶ ἐπάκουσόν μου (4 a)
117 (118). 5. ἐπήκουσέ μου [S[1] μοι] εἰς πλατυσμόν (4 a)
— 21. ἐπήκουσάς μου (4 a)
— 28. ἐπήκουσάς μου –
118 (119). 26. καὶ ἐπήκουσάς μου (4 a)
— 145. ἐπάκουσόν μου, κύριε (4 a)
137 (138). 3. ταχὺ ἐπάκουσόν μου (4 a)
142 (143). 1. ἐπάκουσόν [A εἰσάκ.] μου ἐν τῇ δικαιοσύνῃ σου (4 a)
144 (145). 19. τῆς δεήσεως αὐτῶν ἐπακούσεται [S[1] -σει, S[2] εἰσακούσει] (9 a)
Pr. 15. 29. εὐχαῖς δὲ δικαίων ἐπακούει [S ὑπακ.] (9 a)
21. 13. τοῦ μὴ ἐπακοῦσαι [A ὑπ.] ἀσθενοῦς †
— 13. S οὐκ ἔσται ὁ ἐπακούων [A B εἰσακ.] (4 b)
29. 12. B S βασιλέως ἐπακούοντος [A R ὑπ.] λόγον ἄδικον (7)
Ec. 10. 19. ἐπακούσεται [A add. σὺν] τὰ πάντα (4 a)
Ca. 5. 6. A ἐκάλεσα αὐτὸν καὶ οὐκ ἐπήκουσέν [B S οὐχ ὑπήκουσέ] μου (4 a)
Si. 4. 6. τῆς δεήσεως αὐτοῦ ἐπακούσεται [S εἰσακ.]
46. 6. ἐπήκουσεν αὐτῶν [A S -οῦ] μέγας κύριος
48. 20. ὁ ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν
Ho. 2. 21 (23). ἐπακούσομαι τῷ οὐρ. καὶ αὐτὸς ἐπακούσεται τῇ γῇ (4 a, 4 a)
— 22 (24). καὶ ἡ γῆ ἐπακούσεται τὸν σῖτον (4 a)
— 22. καὶ αὐτὰ ἐπακούσεται τῷ Ἰ. (4 a)
Mi. 3. 7. A οὐκ ἔσται ὁ ἐπακούσων [B εἰσακούων, R ἐπακούων] αὐτῶν (4 c)
Za. 10. 6. καὶ ἐπακούσομαι αὐτοῖς [S[2] -ούς] (4 a)
13. 9. κἀγὼ ἐπακούσομαι αὐτῷ (4 a)
Is. 8. 9. ἐπακούσατε [A -σετε] ἕως ἐσχάτου τῆς γῆς (1)
10. 30. R ἐπακούσεται Λαισὰ [A B ἐν Σὰ, S om.] (7)
— 30. ἐπακούσεται ἐν Ἀναθώθ †
19. 22. A ἐπακούσεται [B S εἰσακ., S[1] -σονται] αὐτῶν (6)
30. 19. ἐπήκουσέ σου (4 a)
41. 17. ἐγὼ ἐπακούσομαι ὁ θεὸς Ἰσραήλ (4 a)
45. 1. ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη (8 ?)
49. 8. καιρῷ δεκτῷ ἐπήκουσά σου [S[1] σοι] (4 a)
50. 2. S[1] οὐκ ἦν ὁ ἐπακούων [B S[2] ὑπ., A οὐχ ὑπήκουσεν] (4 a)
— 10. S ἐπακουσάτω [B ὑπ., A ἀκ.] τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ (9 a)
55. 3. A S[2] ἐπακούσατέ [B S[1] εἰσακ.] μου (9 a)
65. 24. A S ἐγὼ ἐπακούσομαι [B ὑπακ.] αὐτῶν (4 a)
Je. 18. 19. A ἐπάκουσον [B S εἰσάκ.] τῆς φωνῆς τοῦ δικαιώματός μου (9 a)
Da. LXX. 6. 21 (22). Δανιὴλ ἐπήκουσε φωνῇ μεγάλῃ –
9. 17. καὶ νῦν ἐπάκουσον (9 a)
— 18. καὶ ἐπάκουσόν μου (9 a)
— 19. ἐπάκουσον καὶ ποίησον (7)
Da. TH. Su. 44. A καὶ ἐπήκουσεν ὁ θεὸς [B εἰσήκ. κύριος] τῆς φωνῆς αὐτῆς
I Ma. 10. 38. S[1] τοῦ μὴ ἐπακοῦσαι ἄλλῃ ἐξουσίᾳ [A S[2] R al.]
II Ma. 1. 5. R καὶ ἐπακούσαι [A ὑπ.] ὑμῶν τῶν δεήσεων

[Aq. Jb. 19. 7: Ps. 3. 5: 4. 2: 61 (62). 12: 68 (69). 18: 80 (81). 8: 98 (99). 6.]
[Sm. Ps. 4. 2: 26 (27). 7: 80 (81). 8: 117 (118). 5: 137 (138). 3.]
[Th. Ps. 4. 2: 27 (28). 6: Za. 9. 9.]
[Quint. Ps. 3. 5.]
[Sext. Ps. 3. 5: 98 (99). 6.]

ἐπακουστός.

I Es. 4. 12. οὕτως ἐπακουστός ἐστι

ἐπακρόασις. (1) קָשַׁב hi.

I Ki. 15. 22. καὶ ἡ ἐ. ὑπὲρ στέαρ κριῶν (1)

ἐπαλγής.

IV Ma. 14. 10. ὧν τί ἂν [A S om.] γένοιτο ἐπαλγέστερον

ἐπάλληλος.

[Sm. Ho. 8. 13.]

ἔπαλξις. (1) a. אֲשִׁיָּה b. אָשְׁיָה (2) טִירָה (3) שֶׁמֶשׁ

III Ki. 3. 1. ᾠκοδόμησε τὴν ἄκραν ἔ. –
Ju. 14. 1. κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐ. τοῦ τείχους ὑμῶν
Ca. 8. 9. οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐ. ἀργυρᾶς (2)
Si. 9. 13. ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς
Is. 21. 11. φυλάσσετε [A -άξεται] ἐπάλξεις †
54. 12. θήσω τὰς ἐ. σου ἴασπιν (3)
Je. 27 (50). 15. ἔπεσαν αἱ ἐ. αὐτῆς (1 a*, 1 b)
[Aq. Ca. 4. 4.]
[Sm. II Ki. 5. 8.]
[Th. Is. 23. 13.]

ἐπαμύνειν.

III Ma. 1. 27. τοῖς παροῦσιν ἐπαμῦναι
IV Ma. 14. 19. A ἐπαμύνονται ἕως θανάτου [S R al.]

ἐπάν. (1) בְּכָל־עֵת אֲשֶׁר

Es. 5. 13. ὅταν [S[1] ἐπὰν] ἴδω Μαρδ. (1)
Da. LXX. Bel 12. ἐπὰν κλεισθῇ

ἐπαναβαίνειν.

[Sm. Jb. 36. 20.]

ἐπανάγειν. (1) רוּץ hi.

Si. 17. 26. ἐπάναγε [S -άγαγε] ἐπὶ ὕψιστον
26. 28. ἐπανάγων ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν
Za. 4. 12. καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς (1)
II Ma. 9. 21. R ἐπανάγων ἐκ τῶν περὶ τὴν Π. τόπων [A al.]
12. 4. R ἐπαναχθέντας [A ἀχ.] αὐτοὺς ἐβύθισαν

ἐπαναγκαστής.

[Sm. Jb. 3. 18.]

ἐπαναγωγή.

Ez. 25. 9. B οἶκον Βεθασιμοὺθ ἐπαναγωγῆς [A R ἐπάνω πηγῆς] πόλεως παραθαλασσίας †

ἐπαναιρεῖν.

II Ma. 14. 2. κεκρατηκέναι τῆς χώρας ἐπανελόμενον Ἀντ.
— 13. αὐτὸν μὲν τὸν Ἰ. ἐπανελέσθαι

ἐπανακαινίζειν. (1) חָדַשׁ pi.

Jb. 10. 17. ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου [A σου] (1)

ἐπανακαλεῖν.

Si. 48. 20. S[1] ἐπανεκαλέσαντο [A B S[2] ἐπεκ.] τὸν κύριον τὸν ἐλεήμονα

ἐπανακάμπτειν.

[Aq., Sm., Th. Is. 35. 10.]

ἐπανακλίνειν.

[Sm. Ca. 2. 5.]

ἐπαναπαύεσθαι. (1) נוּחַ a. qal. b. hi. (2) שָׁעַן ni.

Nu. 11. 25. ὡς δὲ ἐπανεπαύσατο πνεῦμα ἐπ' αὐτούς (1 a)
Nu. 11. 26. ἐπανεπαύσατο ἐπ' αὐτοὺς πνεῦμα (1 a)
Jd. 16. 26. A ἐπανάπαυσόν με δή [B ἄφες με] (1 b)
IV Ki. 2. 15. ἐπαναπέπαυται τὸ πνεῦμα Ἡ. ἐπὶ Ἐλ. (1 a)
5. 18. ἐπαναπαύσεται ἐπὶ τῆς χειρός μου (2)
7. 2, 17. ἐφ' ὃν ὁ βασιλεὺς ἐπανεπαύετο (2)
Mi. 3. 11. καὶ ἐπὶ τὸν κύριον ἐπανεπαύοντο (2)
Is. 11. 2. S ἐπαναπαύσεται [A B ἀναπ.] ἐπ' αὐτὸν πνεῦμα (1 a)
Ez. 29. 7. ἐπανεπαύσαντο ἐπὶ σέ (2)
I Ma. 8. 12. καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς
[Sm. Ex. 24. 16.]

ἐπανάπαυσις.

[Sm. Is. 30. 30.]

ἐπανάστασις. (1) פְּקָעִים

III Ki. 6. 18. A ἐπαναστάσεις καὶ πέταλα καὶ ἀνάγλυφα (1)
IV Ki. 3. 4. ἐπέστρεψεν . . . ἐν τῇ ἐ. –
[Sm. III Ki. 6. 18.]

ἐπαναστρέφειν. (1) שׁוּב

Ge. 18. 10. ἐπαναστρέφων ἥξω πρὸς σέ (1)
Ex. 14. 28. καὶ ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα (1)
Le. 22. 13. ἐπαναστρέψει ἐπὶ τὸν οἶκον τὸν πατρικόν (1)
Nu. 35. 28. ἐπαναστραφήσεται ὁ φονεύσας (1)
De. 3. 20. ἐπαναστραφήσεσθε ἕκαστος (1)
24. 4. ἐπαναστρέψας λαβεῖν αὐτὴν ἑαυτῷ (1)
— 19. A οὐκ ἐπαναστραφήσῃ [B ἀναστρ.] λαβεῖν αὐτό (1)
— 20. οὐκ ἐπαναστρέψεις καλαμήσασθαι –
Jb. 16. 23 (22). A B S[2] ᾗ οὐκ ἐπαναστραφήσομαι (1)
[Sm., Th. Ec. 1. 5.]

ἐπανατρυγᾶν. (1) עָלַל po.

Le. 19. 10. τὸν ἀμπελῶνά σου οὐκ ἐπανατρυγήσεις (1)
De. 24. 21. οὐκ ἐπανατρυγήσεις αὐτὸν [A om.] τὰ ὀπίσω σου (1)

ἐπαναγέλτερος (?).

IV Ma. 14. 10. S ὧν τί ἂν γένοιτο ἐπαναγέλτερον [A R ἐπαλγέστερον]

ἐπανδροῦν.

II Ma. 15. 17. A καὶ ψυχὰς νέων ἐπανδρῶσαι [R -ανορθῶσαι]

ἐπανέρχεσθαι. (1) בּוֹא (2) הָלַךְ (3) שׁוּב

Ge. 33. 18. R ὅτε ἐπανῆλθεν [A ἦλθεν] ἐκ τῆς Μεσοποταμίας (1)
50. 5. R καὶ ἐπανελεύσομαι [A ἐπελεύσ., B ἀπελεύσ.] (3)
Le. 25. 13. ἐπανελεύσεται [A B[2] add. ἕκαστος] εἰς τὴν κτῆσιν (3)
To. 6. 17. καὶ οὐκ ἐπανελεύσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος [S al.]
Jb. 7. 7. οὐκέτι ἐπανελεύσεται ὀφθαλμός μου (3)
Pr. 3. 28. ἐπανελθὼν ἐπάνηκε (2)
II Ma. 4. 36. τοῦ δὲ βασιλέως ἐπανελθόντος
[Sext. Ps. 28 (29). 10.]

ἐπανήκειν. (1) בּוֹא (2) שׁוּב

Le. 14. 39. ἐπανήξει ὁ ἱερεὺς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ (2)
Pr. 3. 28. ἐπανελθὼν ἐπάνηκε (2)
7. 20. ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ (1)
Si. 4. 18. πάλιν ἐπανήξει κατ' εὐθεῖαν πρὸς αὐτόν
27. 9. ἀλήθεια πρὸς τοὺς ἐργαζομ. αὐτὴν ἐπανήξει

ἐπανθεῖν. (1) חָלַף hi.

Jb. 14. 7. ἐὰν γὰρ ἐκκοπῇ ἔτι ἐπανθήσει [A S[2] al.] (1)

ἐπανιστάναι, ἐπανιστάνειν. (1) דָּרַךְ (2) הָפַךְ ni. (3) עוּר a. hi. b. hithp. (4) עָמַד a. qal. b. hi. (5) צוּר (6) קוּם a. qal. b. hithp.

De. 19. 11. καὶ ἐπαναστῇ ἐπ' αὐτόν (6 a)
22. 26. εἴ τις ἐπαναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον (6 a)
33. 11. ἐχθρῶν ἐπανεστηκότων αὐτῷ (6 a)
Jd. 6. 31. οἱ ἐπανέστησαν αὐτῷ [A al.] (4 a)

Jd. 9. 18. καὶ ὑμεῖς ἐπανέστητε ἐπὶ τὸν οἶκον τοῦ πατρός μου (6 a)
— 43. A ἐπανέστη αὐτοῖς [B ἀν. ἐπ' αὐτούς] (6 a)
I Ki. 4. 15. οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπανέστησαν (6 a)
17. 35. εἰ ἐπανίστατο ἐπ' ἐμέ (6 a)
II Ki. 14. 7. ἐπανέστη ὅλη ἡ πατριὰ πρὸς τὴν δούλην σου (6 a)
18. 32. ὅσοι ἐπανέστησαν ἐπ' αὐτόν (6 a)
22. 40. τοὺς ἐπανιστανομένους μοι (6 a)
— 49. A ἐκ τῶν ἐπανισταμένων [B ἐπεγειρομ.] μοι ὑψώσεις με (6 a)
IV Ki. 16. 7. τῶν ἐπανισταμένων ἐπ' ἐμέ (6 a)
Ju. 5. 11. ἐπανέστη αὐτοῖς ὁ βασιλεὺς Al.
13. 5. A B οἳ ἐπανέστησαν ἡμῖν
16. 17. οὐαὶ ἔθνεσιν ἐπανισταμένοις [A S -στανομ.] τῷ γένει μου
Jb. 17. 8. B S² δίκαιος δὲ ἐπὶ παρανόμῳ ἐπαναστα[ί]η [A al.] (3 b)
19. 19. ἐπανέστησάν μοι (2)
20. 27. γῆ δὲ ἐπαναστα[ί]η αὐτῷ (6 b)
22. 15. A¹ ἣν ἐπανέστησαν [A² B S ἐπάτησαν] ἄνδρες δίκαιοι (1)
27. 7. B² οἱ ἐπ' ἐμὲ ἐπανιστάμενοι [A B¹ S -ανόμενοι] (6 b)
29. 8. A πρεσβῦται δὲ πάντες ἐπανέστησαν [B S ἔστ.] (6 a et 4 a)
30. 5. ἐπανέστησάν μοι κλέπται †
— 12. ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν (6 a)
Ps. 3. 1. πολλοὶ ἐπανίστανται [A -έστησαν, S² -ίσταντο] ἐπ' ἐμέ (6 a)
17 (18). 39. A B¹ S συνεπόδισας πάντας τοὺς ἐπανιστανομένους [B²R -σταμένους] ἐπ' ἐμέ (6 a)
— 48. A B² R ἀπὸ τῶν ἐπανισταμένων [B¹ S -ανομένων] ἐπ' ἐμὲ ὑψώσεις με (6 a)
26 (27). 3. ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος (6 a)
— 12. ἐπανέστησάν μοι μάρτυρες ἄδικοι (6 a)
43 (44). 5. B⁴ R ἐξουδενώσομεν τοὺς ἐπανισταμένους [A B¹ S -ανομένους] ἡμῖν (6 a)
53 (54). 3. ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ (6 a)
58 (59). 1. B¹ S ἐκ τῶν ἐπανιστανομένων [B² R -σταμένων] ἐπ' ἐμὲ λύτρωσαί με (6 b)
85 (86). 14. παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ (6 a)
91 (92). 11. ἐν τοῖς ἐπανισταμένοις [A S -ανομένοις] ἐπ' ἐμὲ πονηρευομένοις (6 a)
108 (109). 28. A S οἱ ἐπανιστανόμενοί [B -στάμενοί] μοι αἰσχυνθήτωσαν (6 a)
123 (124). 2. ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς (6 a)
Mi. 7. 6. θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς (6 a)
Is. 9. 11 (10). ῥάξει ὁ θεὸς τοὺς ἐπανισταμένους ἐπὶ ὄρος [A S ἐπανισταμένους ἐπ' ὄρους] Σιὼν (5)
14. 22. ἐπαναστήσομαι αὐτοῖς (6 a)
31. 2. ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων πονηρῶν (6 a)
La. 3. 62. ἤκουσας . . . χείλη ἐπανισταμένων [A -ανομ.] μοι (6 a)
Da. LXX. 11. 2. ἐπαναστήσεται παντὶ βασιλεῖ Ἑλλήνων (3 a)
Da. TH. 11. 2. ἐπαναστήσεται πάσαις βασιλείαις Ἑλλήνων (3 a)
— 14. πολλοὶ ἐπαναστήσονται ἐπὶ βασιλέα τοῦ νότου (4 b)

[Aq. I Ki. 22. 13: Ps. 3. 2: 17 (18). 40.]
[Sm. I Ki. 22. 13: Jb. 31. 29.]
[Th. I Ki. 22. 13: Jb. 30. 12: Da. 11. 2.]

ἐπάνοδος.

Si. 17. 24. μετανοοῦσιν ἔδωκεν ἐπάνοδον
22. 21. ἔστι γὰρ ἐπάνοδος
38. 21. οὐ γάρ ἐστιν ἐπάνοδος

ἐπανορθοῦν.

II Ma. 2. 22. τοὺς μέλλοντας καταλύεσθαι νόμους ἐπανορθῶσαι
5. 20. μετὰ πάσης δόξης ἐπανωρθώθη
15. 17. B καὶ ψυχὰς νέων ἐπανορθῶσαι [A -ανδρῶσαι]

ἐπανόρθωσις.

I Es. 8. 52. μετὰ τῶν ἐπιζητούντων αὐτὸν εἰς πᾶσαν ἐ.
I Ma. 14. 34. A S ὅσα ἐπιτήδεια ἦν πρὸς τῇ τούτων ἐ. [B τὴν τ. ἐ.]

ἐπάνω. (1) אֶל (2) אֵת (3) בְּ (4) מִ (5) a. מַעְלָה b. לְמַעְלָה c. מִלְמַעְלָה (6) a. עַל b. עַל־פְּנֵי c. מֵעַל d. מֵעַל לְ e. מִמַּעַל לְ f. עֵלָּא מִן (7) עַל בָּמֳתֵי (8) עַל רֹאשׁ (9) עֶלְיוֹן

Ge. 1. 2. καὶ σκότος ἐ. τῆς ἀβύσσου (6 b)
— 2. πνεῦμα θεοῦ ἐπεφέρετο ἐ. τοῦ ὕδατος (6 b)
— 7. ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐ. τοῦ στερεώματος (6 d)
— 29. ὅ ἐστιν ἐ. πάσης τῆς γῆς (6 b)
7. 18. ἐπεφέρετο ἡ κιβ. ἐ. τοῦ ὕδατος (6 b)
— 20. A δέκα πέντε πήχεις ἐ. [B ὑπεράνω] ὑψώθη τὸ ὕδωρ (5 c)
18. 2. τρεῖς ἄνδρες εἱστήκεισαν ἐ. αὐτοῦ (6 a)
22. 9. ἐπέθηκεν αὐτὸν . . . ἐπάνω τῶν ξύλων (6 c)
40. 17. ἐν δὲ τῷ κανῷ τῷ ἐ. (9)
— 17. ἀπὸ τοῦ κανοῦ τοῦ ἐ. τῆς κεφαλῆς μου (6 c)
42. 27. ἦν ἐ. τοῦ στόματος τοῦ μαρσίππου (3)
Ex. 30. 14: 39. 3 (38. 26). ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
Le. 27. 7. ἀπὸ ἑξήκοντα ἐτῶν καὶ ἐ. (5 a)
Nu. 1. 3, 18, 20, 22, 26, 28, 30, 32, 34, 36, 24, 38, 40, 42, 45. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
3. 15, 22, 28, 34, 39, 40, 43. ἀπὸ μηνιαίου καὶ ἐ. (5 a)
4. 3. καὶ ἐ. ἕως πεντήκοντα ἐτῶν (5 a)
— 23, 30, 35, 39, 43, 47: 8. 24. ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
14. 29: 26. 2, 4. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
26. 62. ἀπὸ μηνιαίου καὶ ἐ. (5 a)
32. 11. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
De. 28. 13. ἔσῃ τότε ἐ. (5 b)
Jo. 9. 5. καὶ τὰ ἱμάτια πεπαλαιωμ. ἐ. [A ἐπ'] αὐτῶν (6 a)
Jd. 1. 14. A ἐγόγγυζεν ἐ. τοῦ ὑποζυγίου [B om. ἐ. τ. ὑ.] (6 c)
— 36. ἀπὸ τῆς πέτρας καὶ ἐ. (5 a)
13. 20. ἐν τῷ ἀναβῆναι τὴν φλόγα ἐ. [A -ωθεν] τοῦ θυσιαστ. (6 c)
Ru. 3. 15. φέρε τὸ περίζωμα τὸ ἐ. σου (6 a)
I Ki. 9. 2: 10. 23. ὑπερωμίαν καὶ ἐ. ὑψηλός (5 a)
16. 13. ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐ. (5 a)
17. 6. κνημῖδες χαλκαῖ ἐ. τῶν σκελῶν αὐ. (6 a)
— 39. ἔζωσε τὸν Δ. τὴν ῥομφ. αὐ. ἐ. τοῦ μανδύου αὐ. (6 d)
18. 4. A ἐξεδύσατο Ἰ. τὸν ἐπενδύτην τὸν ἐ. (6 a)
30. 25. ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐ. (5 a)
II Ki. 1. 9. στῆθι δὴ ἐ. μου (6 a)
5. 20. ἐκ τῶν ἐ. διακοπῶν †
24. 20. καὶ τοὺς παῖδας αὐ. παραπορευομ. ἐ. αὐτοῦ (6 a)
— 21. καὶ συσχεθῇ ἡ θραῦσις ἐ. τοῦ λαοῦ (6 c)
III Ki. 3. 1. καὶ τὴν B. ἐ. -
IV Ki. 3. 21. A καὶ ἐ. [B καὶ εἶπον, Ὦ] (5 a)
15. 35. τὴν πύλην οἴκου κυρίου τὴν ἐ. (9)
I Ch. 23. 3. ἀπὸ τριακονταετοῦς καὶ ἐ. (5 a)
— 24. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
— 27. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 b)
II Ch. 4. 12. A ὅ ἐστιν ἐ. [B ἐπὶ] τῶν κεφαλῶν τῶν στύλων (6 a)
— 13. ἅ ἐστιν ἐ. τῶν στύλων (6 b)
24. 20. ἀνέστη ἐ. τοῦ λαοῦ (6 d)
25. 5. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
26. 19. ἐ. τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων (6 d)
31. 16. ἀπὸ τριετοῦς καὶ ἐ. (5 b)
— 17. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 b)
I Es. 5. 41. B ἀπὸ δωδεκαετοῦς καὶ ἐ. [A B om. καὶ ἐ.]
8. 92. ἐστιν ἐ. πᾶς Ἰ.
II Es. 3. 8. ἀπὸ εἰκοσαετοῦς καὶ ἐ. (5 a)
Ne. 8. 5. αὐτὸς ἦν ἐ. τοῦ λαοῦ (6 c)
12. 31. ἀνήνεγκαν . . . ἐ. τοῦ τείχους (6 d)
— 31. S² R ἐ. τοῦ τείχους τῆς κοπρίας (6 d)
— 38. S² καὶ τὸ ἥμισυ τοῦ λαοῦ ἐ. τοῦ τείχους (6 d)
To. 2. 10. S ἐν τῷ τοίχῳ ἐ. μού εἰσιν [A B al.]
Ju. 1. 10. A B S² ἕως τοῦ ἐλθεῖν ἐ. Τάνεως [S¹ om. ἐ. T.]
Jb. 33. 12. αἰώνιος γάρ ἐστιν ὁ ἐ. βροτῶν (4)
Ps. 107 (108). 4. μέγα ἐ. τῶν οὐρ. τὸ ἔλεός σου (6 c)
Ec. 5. 7. ὑψηλὸς ἐ. ὑψηλοῦ φυλάξαι (6 c)
Si. 45. 12. στέφανον χρυσοῦν ἐ. κιδάρεως
Hg. 2. 16 (15). A ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐ. [B S ὑπεράνω] (5 a)
— 20 (19). A ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐ. [B S om. καὶ ἐ.] -
Za. 4. 2. καὶ τὸ λαμπάδιον ἐ. αὐτῆς καὶ ἑπτὰ λύχνοι ἐ. αὐτῆς (6, 6 a)
— 2. τοῖς λύχνοις τοῖς ἐ. αὐτῆς (8)
— 3. δύο ἐλαῖαι ἐ. αὐτῆς (6 a)
Is. 10. 9. οὐκ ἔλαβον τὴν χώραν τὴν ἐ. Βαβ. †
14. 13. ἐ. τῶν ἀστέρων τοῦ οὐρ. θήσω τὸν θρόνον μου (6 c)
— 14. ἀναβήσομαι ἐ. τῶν νεφῶν (7)
18. 2. καὶ ἐπιστολὰς βιβλίνας ἐ. τοῦ ὕδατος (6 b)
Je. 16. 16. θηρεύσουσιν αὐτοὺς ἐ. παντὸς ὄρους καὶ ἐ. παντὸς βωμοῦ (6 c, 6 c)
42 (35). 4. τοῦ οἴκου τῶν ἀρχόντων τῶν [A S¹ om.] ἐ. τοῦ οἴκου M. (6 c)
43 (36). 10. ἐν τῇ αὐλῇ τῇ ἐ. ἐν προθύροις (9)
50 (43). 10. θήσει αὐ. τὸν θρόνον ἐ. τῶν λίθων τούτων (6 c)
52. 32. ἔδωκε τὸν θρόνον αὐ. ἐ. τῶν βασ. (6 c)
Ba. 2. 5. ἐγενήθησαν ὑποκάτω καὶ οὐκ ἐ.
Ez. 1. 11. δύο ἐπεκάλυπτον ἐ. τοῦ σώματος αὐ. (2)
— 27. ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐ. (5 b)
10. 1. καὶ ἰδοὺ ἐ. τοῦ στερεώματος (1)
25. 9. A R ἐ. πηγῆς [B ἐπαναγωγῆς] πόλεως παραθαλασσίας †
37. 8. ἀνέβαινεν ἐπ' αὐτὰ δέρματα ἐ. (5 c)
Da. LXX. 3. (47). διεχεῖτο ἡ φλὸξ ἐ. τῆς καμίνου
— (60). πάντα τὰ ἐ. τοῦ οὐρανοῦ
7. 6. πτερὰ τέσσαρα ἐπέτεινον ἐ. αὐτοῦ (6 a)
12. 6. cod. τῷ ἐ. [R ἐ. τοῦ ὕδατος τοῦ ποταμοῦ] (6 c)
— 7. ὃς ἦν ἐ. τοῦ ὕδατος τοῦ ποταμοῦ (6 c)
Bel 35. ἔθηκεν αὐτὸν ἐ. τοῦ λάκκου
Da. TH. 3. (47). διεχεῖτο ἡ φλὸξ ἐ. τῆς καμίνου
— (60). A B καὶ πάντα τὰ ἐ. [R ὑπεράνω] τοῦ οὐρανοῦ
6. 2 (3). καὶ ἐ. αὐτῶν τακτικοὺς τρεῖς (6 f)
12. 6, 7. ὃς ἦν ἐ. τοῦ ὕδατος τοῦ ποταμοῦ (6 c)
I Ma. 3. 37. διεπορεύετο τὰς ἐ. χώρας
5. 51. διῆλθε . . . ἐ. τῶν ἀπεκταμμένων
6. 1. διεπορεύετο . . . τὰς ἐ. χώρας
— 46. ἔπεσεν ἐπὶ τὴν γῆν ἐ. αὐτοῦ
II Ma. 9. 25. ἀνατρέχων εἰς τὰς ἐ. σατραπείας

[Aq. Nu. 1. 20: IV Ki. 3. 21†.]
[Sm. Nu. 1. 20: III Ki. 7. 20 (9): Ps. 41 (42). 8: 67 (68). 30: 73 (74). 5: 89 (90). 17: 94 (95). 3: Ec. 5. 7: Is. 30. 17: Je. 43 (50). 10.]
[Th. Ex. 28. 27: I Ki. 19. 20: IV Ki. 3. 21†: Ps. 7. 8: Da. 12. 6.]
[Quint. IV Ki. 3. 21†: Ca. 8. 9.]
[Al. Ps. 46 (47). 9: Is. 6. 2.]
[Heb. Ez. 13. 18.]

ἐπάνωθεν. (1) a. מִמַּעַל b. לְמַעְלָה c. מִלְמַעְלָה d. מֵעַל e. עַל f. מֵעַל לְ g. מִמַּעַל מ׳

Ex. 25. 19 (20). ἐκτείνοντες τὰς πτέρυγας ἐ. (1 b)
26. 14. ἐπικαλύμματα δέρματα ὑακίνθινα ἐ. (1 c)
38. 5 (37. 6). ἐ. [A ἄνωθεν] τῆς κιβωτοῦ -
Jd. 3. 21. ἔλαβε τὴν μάχαιραν ἐ. [A ἀπὸ] τοῦ μηροῦ αὐ. (1 d)
4. 15. κατέβη Σ. ἐ. [A ἀπὸ] τοῦ ἅρματος αὐ. (1 d)
8. 13. ἀπὸ ἐ. τῆς παρατάξεως Ἀ. [A al.] †
13. 20. A ἐν τῷ ἀναβῆναι τὴν φλόγα ἐ. [B -νω] τοῦ θυσιαστηρίου (1 d)
II Ki. 11. 21. A B οὐχὶ γυνὴ ἔρριψε . . . ἐ. [B ἀπὸ ἄν.] τοῦ τείχους (1 d)
13. 9. A B ἐξαγάγετε πάντα ἄνδρα [B add. ἀπὸ] ἐ. μου (1 d)
— 9. A B ἐξήγαγον πάντα ἄνδρα ἀπὸ [B om.] ἐ. αὐτοῦ (1 e)
24. 25. συνεσχέθη ἡ θραῦσις ἐ. Ἰσρ. (1 d)
III Ki. 2. 4. οὐκ ἐξολεθρευθήσεταί σοι ἀνὴρ ἐ. θρόνου Ἰ. (1 d)
7. 20. καὶ ἐ. τῶν πλευρῶν ἐπίθεμα (1 g)
— 25. καὶ ἡ θάλασσα ἐπ' αὐτῶν ἐ. (1 c)
— 29. οὕτως καὶ ἐ. (1 a)
— 11. καὶ ἐ. τιμίοις [A λίθοις τ.] (1 c)
8. 7. καὶ ἐπὶ τὰ ἅγια αὐτῆς ἐ. (1 c)
IV Ki. 2. 3. A B² R λαμβάνει τὸν κύριόν σου ἐ. [B¹ ἀπ.] τῆς κεφαλῆς σου (1 d)
— 5. λαμβάνει κύριος τὸν κύριόν σου ἐ. [A ἀπ.] τῆς κεφαλῆς σου (1 d)
— 13. ἔπεσεν ἐ. Ἐλ. (1 d)
— 14. ἔπεσεν ἐ. αὐτοῦ (1 d)
10. 31. A B οὐκ ἀπέστη ἐ. [R ἀπ.] ἁμαρτιῶν Ἰερ. (1 d)
17. 21. πλὴν Ἰσρ. ἐ. οἴκου Δ. (1 d)
— 23. ἀπῳκίσθη Ἰ. ἐ. τῆς γῆς αὐ. (1 d)
25. 5. πᾶσα ἡ δύναμις αὐ. διεσπάρη ἐ. αὐτοῦ (1 d)

IV Ki. 25. 21. ἀπῳκίσθη Ἰ. ἐ. τῆς γῆς αὐ. (1 d)
— 28. ἔδωκε τὸν θρόνον αὐ. ἐ. τῶν θρόνων τῶν βασ. (1 d)
I Ch. 29. 25. ἐμεγάλυνε κύριος τὸν Σ. ἐ. ἐναντίον παντὸς Ἰ. (1 b)
II Ch. 5. 8. καὶ ἐπὶ τοὺς ἀναφορεῖς αὐτῆς ἐ. (1 c)
Ne. 12. 37. ἐν ἀναβάσει τοῦ τείχους ἐ. τοῦ οἴκου Δ. (1 f)
Jb. 18. 16. ἐ. ἐπιπεσεῖται θερισμὸς αὐτοῦ (1 a)
Am. 2. 9. ἐξήρανα τὸν καρπὸν αὐτοῦ ἐ. [A ἀπ.] (1 a)
Ez. 1. 22. ἐκτεταμένον ἐπὶ τῶν πτερύγων αὐ. ἐ. (1 c)
40. 43. ἐπὶ τὰς τραπέζας ἐ. στέγας †
[Aq. Je. 37 (44). 5: 49. 19 (29. 20).]
[Sm. Is. 6. 2: Ez. 10. 16.]
[Th. Jb. 18. 16: Je. 52. 27.]

ἐπαξονεῖν. (1) יָלַד hithp.
Nu. 1. 18. ἐπηξονοῦσαν [A ἐπεσκέπησαν] κατὰ γενέσεις αὐτῶν (1)

ἐπαοιδή, ἐπῳδή. (1) חֶבֶר (2) לָט
Ex. 8. 7 (3). A ἐν ταῖς ἐ. [B φαρμακίαις] αὐτῶν (2)
De. 18. 11. B¹B ἐπαείδων [A B² ἐπαοιδὼν] ἐπαοιδήν (1)
Is. 47. 9. ἐν τῇ ἰσχύϊ τῶν ἐ. σου σφόδρα (1)
— 12. στῆθι νῦν ἐν ταῖς ἐ. σου (1)
[Aq. Ps. 57 (58). 6.]
[Sm. Ps. 57 (58). 6: Ec. 10. 11.]
[Th. Is. 3. 3.]

ἐπαοιδός. (1) אַשָּׁף (2) חָבֵר (3) *a.* חַרְטֻמִּים *b.* חַרְטֹם (4) יִדְּעֹנִי
Ex. 7. 11. καὶ ἐποίησαν καὶ οἱ ἐ. τῶν Αἰγ. . . . ὡσαύτως (3 a)
— 22: 8. 7 (3). ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐ. τῶν Αἰγ. (3 a)
8. 18 (14). ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐ. (3 a)
— 19 (15). εἶπαν οὖν οἱ ἐ. τῷ Φαραώ (3 a)
Le. 19. 31. τοῖς ἐ. οὐ προσκολληθήσεσθε (4)
20. 6. ἡ ἐὰν ἐπακολουθήσῃ . . . ἐπαοιδοῖς (4)
— 27. ὃς ἂν γένηται αὐτῶν . . . ἐ. (4)
De. 18. 11. A B² ἐπαοιδῶν [B¹ B ἐπαείδων] ἐπαοιδήν (2)
I Ki. 6. 2. καλοῦσιν ἀλλόφυλοι . . . τοὺς ἐ. αὐ. –
II Ch. 33. 6. καὶ ἐποίησεν . . . ἐπαοιδούς (4)
Si. 12. 13. τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον
Da. LXX. 2. 2. εἰσενεχθῆναι τοὺς ἐ. (3 a)
— 27. οὐκ ἔστι . . . ἐπαοιδῶν καὶ γαζαρηνῶν ἡ δήλωσις (3 b)
5. 7. καλέσαι τοὺς ἐ. (1 ?)
— 8. καὶ εἰσεπορεύοντο οἱ ἐ. †
Da. TH. 1. 20. εὗρεν αὐτοὺς δεκαπλασίονας παρὰ πάντας τοὺς ἐ. (3 a)
2. 2. καλέσαι τοὺς ἐ. (3 a)
— 10. ἐπαοιδὸν μάγον καὶ Χαλδαῖον (1)
— 27. ἔστι σοφῶν μαγῶν ἐ. (3 b)
4. 4. εἰσεπορεύοντο οἱ ἐ. (3 b)
— 6. ὁ ἄρχων τῶν ἐ. (3 b)
5. 11. ἄρχοντα ἐπαοιδῶν . . . κατέστησεν αὐτόν (3 b)
[Sm. Ex. 7. 11: 8. 7 (3).]
[Th. Ex. 7. 11: 8. 7 (3): Ec. 10. 11: Da. 1. 20: 2. 2: 4. 4.]
[Al. Ps. 57 (58). 6.]

ἐπαποστέλλειν. (1) שָׁלַח *a.* pi. *b.* hi.
Ex. 8. 21 (17). B ἐπαποστέλλω [A B ἐξαπ.] ἐπὶ σὲ . . . κυνόμυιαν (1 b)
De. 28. 48. οὓς ἐπαποστελεῖ κ. ἐπὶ σέ [A *al.*] (1 a)
32. 24. A B ὀδόντας θηρίων ἐπαποστελῶ [B ἀποστ.] εἰς αὐτούς (1 a)
III Ki. 12. 24. B σκληρὰ ἐγὼ ἐπαποστέλλω ἐπὶ σέ –
Jb. 20. 23. ἐπαποστεῖλαι ἐπ' αὐτὸν θυμὸν ὀργῆς (1 a)
Wi. 11. 16. ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζῴων
16. 3. B διὰ τὴν εἰδέχθειαν [A B S δειχθεῖσαν] τῶν ἐπαπεσταλμένων
Si. 28. 23. A S ἐπαποσταλήσεται [B ἐξαπ. ἐπ'] αὐτοῖς ὡς λέων
Je. 9. 16 (15). ἐπαποστελῶ [S¹ ἀποστείλω, S³ ἀποστελῶ] ἐπ' αὐτοὺς τὴν μάχαιραν (1 a)
25. 16 (49. 37). ἐπαποστελῶ [S¹ -είλω, A ἐξα.] ὀπίσω αὐτῶν τὴν μάχαιράν μου (1 a)
Ez. 14. 19. B θάνατον ἐπαποστέλλω [B -είλω, A ἐπάγω] ἐπὶ τὴν γῆν ἐκ. (1 a)
— 21. A τὰς τέσσαρας ἐκδικήσεις μου . . . ἐπαποστελῶ [B ἐξαποστείλω] (1 a)

ἐπαποστολή.
[Sm. Ps. 77 (78). 49.]

ἐπαποτίειν.
[Th. Is. 59. 18.]

ἐπάρδειν.
IV Ma. 1. 29. ἑκάστην . . . περιπλέκων καὶ ἐπάρδων

ἐπαρήγειν.
II Ma. 13. 17. B διὰ τὴν ἐπαρήγουσαν αὐτῷ τοῦ κυρίου [A τῷ κ.] σκέπην

ἐπαρκεῖν.
I Ma. 8. 26. οὐδὲ ἐπαρκέσουσι σῖτον
11. 35. A πάντα [S -ας] ἐπαρκέσομεν [S -σωμεν, B ἐπαρκῶς παρίεμεν] αὐτοῖς

ἐπαρκῶς.
I Ma. 11. 35. B πάντα [S -ας] ἐ. παρίεμεν [A S ἐπαρκέσομεν] αὐτοῖς

ἔπαρμα. (1) אֵשׁ
II Es. 6. 3. καὶ ἔθηκεν ἔπαρμα (1)
[Aq., Th. Jb. 20. 6.]
[Sm. Jb. 20. 6: 38. 11: Is. 16. 6: Je. 48 (31). 29.]

ἔπαρξις. (1) תִּפְאֶרֶת
Za. 12. 7. A καὶ ἐπάρξεις [B -άρσεις, S B -αρσις] τῶν κατοικούντων Ἰερ. (1)

ἔπαρσις. (1) מוֹצָא (2) *a.* מַשָּׂא *b.* מַשְׂאֵת (3) מָשׂוֹשׂ (4) *a.* שָׂאָה hi. *b.* שְׂאֵת (5) תִּפְאֶרֶת
Nu. 33. 2. A ἔγραψε M. τὰς ἐ. [B ἀπ.] αὐτῶν (1)
IV Ki. 19. 25. ἐγενήθη εἰς ἐπάρσεις (4 a)
Ps. 140 (141). 2. ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή (2 b)
Za. 12. 7. S B καὶ ἔπαρσις [B -εις, A -άρξεις] τῶν κατοικούντων Ἰερ. (5)
La. 3. 47. ἐγενήθη ἡμῖν ἔ. καὶ συντριβή (4 b)
Ez. 24. 25. λαμβάνω . . . τὴν ἔ. τῆς καυχήσεως αὐτῶν . . . καὶ τὴν ἔ. ψυχῆς αὐτῶν (3, 2 a)
[Aq. Dt. 16. 10.]
[Th. Is. 32. 5.]

ἐπαρυστήρ. (1) מַלְקָחַיִם
Ex. 25. 37 (38). τὸν ἐ. αὐ. καὶ τὰ ὑποθέματα αὐ. (1)

ἐπαρυστρίς (-στίς). (1) מוּצָקָה (2) מַחְתָּה (3) מַלְקָחַיִם
Ex. 38. 17 (37. 23). τὰς ἐ. αὐ. χρυσᾶς (2)
Nu. 4. 9. τὰς λαβίδας αὐτῆς καὶ τὰς ἐ. αὐτῆς (2)
III Ki. 7. 49. A καὶ τὰς ἐ. χρυσᾶς τρεῖς [B *al.*] (3)
Za. 4. 2. ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις (1)
— 12. τῶν ἐπαναγόντων τὰς ἐ. τὰς χρυσᾶς †

ἐπάρχειν.
Es. 3. 13. πολλῶν ἐπάρξας ἐθνῶν

ἐπαρχία. (1) מְדִינָה
Ju. 3. 6. A κατέβη ἐπὶ τὴν ἐ. [B S παραλίαν]
Es. 4. 11. S³ καὶ λαὸς ἐπαρχιῶν τοῦ βασιλέως (1)

ἔπαρχος. (1) פֶּחָה
I Es. 6. 3, 7. ὁ ἔ. Συρίας καὶ Φ.
— 18. παρεδόθη Ζ. καὶ Σ. τῷ ἐ.
— 27. ἐπιμεληθῆναι Σ. ἐπάρχῳ Συρίας καὶ Φ.
— 27. A B ἔπαρχον [B ὕπ.] δὲ τῆς Ἰουδαίας
— 29. Ζοροβάβελ ἐπάρχῳ
7. 1. Σ. ἔπαρχος [A ὁ ἔ.] κοίλης Συρίας
8. 67. καὶ τοῖς ἐ. κοίλης Συρίας
II Es. 5. 3. Θ. ἔπαρχος πέραν τοῦ ποταμοῦ (1)
— 6. Θ. ὁ ἔ. τοῦ πέραν τοῦ ποταμοῦ [B *al.*] (1)
6. 6. ἔπαρχοι πέραν τοῦ ποταμοῦ (1)
— 13. Θ. ἔπαρχος πέραν τοῦ ποταμοῦ (1)
8. 36. καὶ ἐπάρχοις πέραν τοῦ ποταμοῦ (1)
Ne. 2. 7. ἐπιστολὰς πρὸς τοὺς ἐ. πέραν τοῦ ποταμοῦ (1)
— 9. καὶ ἦλθον πρὸς τοὺς ἐ. πέραν τοῦ ποταμοῦ (1)
II Ma. 4. 27. Σωστράτου τοῦ τῆς ἀκροπόλεως ἐ.

ἐπασθμαίνειν.
IV Ma. 6. 11. καὶ ἐπασθμαίνων σφοδρῶς

ἐπαστής.
[Sm. Ps. 57 (58). 6.]

ἔπαυλις. (1) גְּדֵרָה (2) חַוָּה (3) חוּץ (4) חָצֵר (5) טִירָה (6) נָוֶה (7) רְחֹב
Ge. 25. 16. ἐν ταῖς σκηναῖς αὐ. καὶ ἐν ταῖς ἐ. αὐ. (5)
Ex. 8. 11 (7). ἐκ τῶν οἰκιῶν ὑμῶν καὶ ἐκ τῶν ἐ. –
— 13 (9). ἐκ τῶν οἰκιῶν καὶ ἐκ τῶν ἐ. (4)
14. 2. στρατοπεδευσάτωσαν ἀπέναντι τῆς ἐ. †
— 9. ἀπέναντι τῆς ἐ. ἐξ ἐναντίας Βεελσεπφῶν †
Le. 25. 31. αἱ δὲ οἰκίαι αἱ ἐν ἐπαύλεσιν (4)
Nu. 22. 39. ἦλθον εἰς πόλεις ἐπαύλεων (3)
31. 10. τὰς ἐ. αὐτῶν ἐνέπρησαν (5)
32. 16. ἐπαύλεις προβάτων οἰκοδομήσομεν (1)
— 24. καὶ ἐπαύλεις τοῖς κτήνεσιν ὑμῶν (1)
— 36. καὶ ἐπαύλεις [A πόλεις] προβάτων (1)
— 41. καὶ ἔλαβε τὰς ἐ. αὐτῶν (2)
— 41. καὶ ἐπωνόμασεν αὐτὰς ἐπαύλεις Ἰαΐρ (2)
34. 4. ἐξελεύσεται εἰς ἔπαυλιν Ἀράδ (4)
Jo. 13. 23, 28. καὶ αἱ ἐ. αὐτῶν (4)
15. 28. καὶ αἱ ἐ. αὐτῶν –
— 36. καὶ αἱ ἐ. αὐτῆς †
— 45. καὶ αἱ ἐ. αὐτῶν (4)
— 47 *bis*. καὶ αἱ ἐ. αὐτῆς (4)
— 54, 60. καὶ αἱ ἐ. αὐτῶν (4)
